ita nempe ridiculi omnes fuerunt. Qui vero apud illos admirandi et disciplinæ principes habentur, hi maxime sunt: qui de republica et de legibus quædam scripsere, et tamen in omnibus plus quam pueri ridiculi habiti sunt: quod mulieres omnibus communes fecerint, vitam ipsam pessum dederint, et honorem connubii deturparint, aliaque hujusmodi ridicule statuerint; et in his totum vitæ tempus insumserint. De anima vero doctrinam omnium turpissimam statuerunt, dum animas hominum, muscas, culices, frutices fieri Deumque ipsum animam esse dicerent; et alia quædam turpissima assererent. Nec ea solum de causa culpandi; sed et magnus est ipsis verborum Euripus. Quemadmodum enim in Euripo huc illuc jactati, sic numquam in iisdem persistiterunt, utpote qui ex incerta et fluxa mente loquerentur. Verum non ita piscator hic, qui omnia certa pronuntiat, et quasi in petra stans, numquam titubat. Cum enim in ipsa adyta induci dignatus sit, et ipsum habeat Dominum in se loquentem, nihil humanum passus est; at illi haud secus quam ii qui ne per somnium quidem in regiam admissi sunt, sed in foro cum aliis permixtim hominibus versantur, dum ex propria mente de invisibilibus conjectarent, in summos errores inciderunt, de ineffabilibus disserere aggressi, et quasi cæci vel ebrii in ipso errore contra se mutuo impegerunt: nec mutuo tantum alii contra alios, sed etiam secum de iisdem rebus semper pugnant.. Atqui hic illiteratus, rudis, ex Bethsaïda, Zebedæi filius; etsi Græci nominum asperitatem admodum rideant, nihilo tamen minore, imo majore fiducia jam loquar: quanto enim magis barbara ipsis videtur natio illa, et a Græco instituto aliena, tanto splendidiora nostra videbuntur. Cum enim barbarus et indoctus ea loquatur, quæ nullus hominum unquam noverat; nec loquatur modo, sed etiam suadeat; (quod si illud solum esset, magnum foret miraculum; nunc vero præter hoc, etiam aliud majus suppeditetur argumentum, quod ea quæ dicuntur

τέον * ἡμῖν φιλοσόφων· οὕτω καταγέλαστοι ἐντεῦθεν μεθ' ὑπερβολῆς γεγόνασιν ἅπαντες. [f] Οἱ δὲ τῶν ἄλ- D λων θαυμασθέντες πλέον παρ' αὐτοῖς, καὶ πιστευθέντες εἶναι κορυφαῖοι τῆς ἐπιστήμης ἐκείνης, οὗτοι μάλιστα τῶν ἄλλων εἰσίν· [g] οἳ καὶ πολιτείας μὲν ἕνεκεν καὶ νόμων συνθέντες τινὰ ἔγραψαν· ὅμως δὲ ἐν ἅπασι παίδων αἰσχρότερον κατεγελάσθησαν. Τάς τε γὰρ γυναῖκας κοινὰς ἅπασι ποιοῦντες, καὶ τὸν βίον [h] αὐτὸν ἀνατρέποντες, καὶ τὸ σεμνὸν διαφθείροντες τοῦ γάμου, καὶ ἕτερα τοιαῦτα καταγέλαστα νομοθετοῦντες, οὕτω πάντα τὸν βίον αὐτῶν ἀνάλωσαν. Δογμάτων δὲ ἕνεκεν τῶν περὶ ψυχῆς, οὐδὲ ὑπερβολήν τινα κατέλιπον αἰσχύνης λοιπὸν, [i] μυίας, καὶ κώνωπας, καὶ E θάμνους τὰς τῶν ἀνθρώπων λέγοντες γίνεσθαι ψυχὰς, καὶ τὸν Θεὸν αὐτὸν ψυχὴν εἶναι φάσκοντες, καὶ ἕτερα ἄττα τινὰ τοιαῦτα ἀσχημονοῦντες. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ κατηγορίας ἄξιον· ἀλλὰ καὶ ὁ πολὺς αὐ- 9 A τῶν τῶν λόγων εὔριπος. Καθάπερ γὰρ ἐν εὐρίπῳ τῇδε κἀκεῖσε περιφερόμενοι, οὕτως οὐδέποτε ἐπὶ τῶν αὐτῶν ἑστήκεσαν, ἅτε ἀπὸ τῶν ἀδήλων καὶ ἐπισφαλῶν λογισμῶν πάντα φθεγγόμενοι. Ἀλλ' οὐχ ὁ ἁλιεὺς οὗτος οὕτως· ἀλλ' ἅπαντα μετὰ ἀσφαλείας φθέγγεται, καὶ ὥσπερ ἐπὶ πέτρας ἑστηκὼς, οὐδαμοῦ περιτρέπεται. Ἐν αὐτοῖς γὰρ τοῖς ἀδύτοις γενέσθαι καταξιωθεὶς, καὶ τὸν πάντων Δεσπότην ἐν ἑαυτῷ λαλοῦντα ἔχων, οὐδὲν ἀνθρώπινον ἔπασχεν· ἐκεῖνοι δὲ ὥσπερ οἱ τῶν μὲν βασιλείων οὐδὲ ὄναρ ἐπιβῆναι καταξιωθέντες, ἔξω δὲ ἐπ' ἀγορᾶς μετὰ τῶν ἄλλων διατρίβοντες B ἀνθρώπων, καὶ ἀπὸ τῆς ἰδίας διανοίας καταστοχαζόμενοι τῶν ἀοράτων, [a] τὴν πολλὴν ἐπλανήθησαν πλάνην, περὶ τῶν ἀῤῥήτων διαλεχθῆναι θελήσαντες, καὶ καθάπερ τυφλοὶ καὶ μεθύοντες, καὶ ἐν αὐτῇ τῇ πλάνῃ ἀλλήλοις προσέῤῥηξαν· * οὐχ ἀλλήλοις δὲ μόνον, ἀλλὰ καὶ ἑαυτοῖς, πολλαχοῦ καὶ περὶ τῶν αὐτῶν ἀεὶ μετατιθέμενοι. Ὁ δὲ ἀγράμματος οὗτος, ὁ ἰδιώτης, ὁ ἀπὸ Βηθσαϊδὰ, ὁ Ζεβεδαίου παῖς· [b] κἂν μυριάκις καταγελῶσιν Ἕλληνες τῆς τῶν ὀνομάτων ἀγροικίας, οὐδὲν ἧττον μετὰ πλείονος αὐτὰ τῆς παῤῥησίας ἐρῶ· ὅσῳ γὰρ ἂν τὸ ἔθνος αὐτοῖς βάρβαρον φαίνηται καὶ τῆς Ἑλληνικῆς ἀπέχον παιδεύσεως, τοσούτῳ λαμπρότερα C τὰ ἡμέτερα φανεῖται. Ὅταν γὰρ ὁ βάρβαρος καὶ ἀμα-

* [φιλοσόφων ἡμῖν ἀπεντεῦθεν, οὕτω καταγ. μεθ' Cod. 706.]

f Morel. οἱ γοῦν. Savil. οἱ δέ.

g In Savil. textu οἱ ante καὶ πολιτείας deest. Ibid. Morel. καὶ νόμων. Savil. et Mss. multi καὶ δογμάτων. Mox Savil. καὶ ἐν ἅπασι. Morel. ὅμως δὲ ἐν ἅπασι. [Cod. 706 totum locum ita exhibet... εἰσίν. οὗτοι τοίνυν μετὰ τῶν δογμάτων καὶ πολιτείας δὲ ἕνεκεν συνθέντες τινὰ ἔγραψαν· καὶ ἐν ἅπασι παίδων αἰσχρότερον καταγ.]

h Morel. μύας. Savil. autem et Codicum Mss. maxima pars μυίας, quæ vox asseri videtur per sequentem καὶ κώνωπας.

i [αὐτόν abest a Sav. et Cod. 706.]

a Alii τὸν πολὺν ἐπλανήθησαν πλάνον. Ibidem post illa verba sequitur, περὶ τῶν ἀῤῥήτων διαλεχθῆναι θελήσαντες, quæ Savilius in margine posuit, licet in aliquot Mss. habeantur, quorum unus ἀοράτων pro ἀῤῥήτων habet. Hæc porro legit Aretinus interpres.

* [καὶ οὐχ ἀλλ. μόνον Savil. et Cod. 706; qui mox καί post πολλαχοῦ omittunt.]

b Morel. κἂν γάρ, sed γάρ deest in Savil. et in Mss. plurimis.

θῆς τοιαῦτα φθέγγηται, ἃ μηδεὶς τῶν ἐπὶ γῆς ἀνθρώπων συνεῖδέ ποτε, καὶ μὴ φθέγγηται μόνον, ἀλλὰ καὶ πείθῃ· καίτοι εἰ καὶ τοῦτο μόνον ἦν, μέγα τὸ θαῦμα ἦν· νῦν δὲ πρὸς τούτῳ καὶ ἕτερον τούτου μεῖζον παρέχῃ τεκμήριον, τοῦ θεόπνευστα εἶναι τὰ λεγόμενα, τὸ τοὺς ἀκούοντας πείθειν ἅπαντας διὰ τοῦ χρόνου παντὸς, τίς οὐ θαυμάσεται τὴν ἐνοικοῦσαν αὐτῷ δύναμιν; Καὶ γὰρ καὶ τοῦτο μέγιστον, ὅπερ ἔφην, τεκμήριον τοῦ μηδὲν οἴκοθεν αὐτὸν νομοθετεῖν. Οὗτος δὴ οὖν ὁ βάρβαρος, τῇ μὲν τοῦ [c] εὐαγγελίου γραφῇ τὴν οἰκουμένην κατέλαβεν ἅπασαν, τῷ δὲ σώματι μέσην κατέσχε τὴν Ἀσίαν, ἔνθα τὸ παλαιὸν ἐφιλοσόφουν οἱ τῆς Ἑλληνικῆς συμμορίας ἅπαντες, D [d] κἀκεῖθεν τοῖς δαίμοσίν ἐστι φοβερὸς, ἐν μέσῳ τῶν ἐχθρῶν διαλάμπων, καὶ τὸν ζόφον αὐτῶν σβεννὺς, καὶ τὴν ἀκρόπολιν τῶν δαιμόνων καταλύων· τῇ δὲ ψυχῇ πρὸς τὸν χῶρον ἀνεχώρησεν ἐκεῖνον, τὸν ἁρμόττοντα τῷ τὰ τοιαῦτα ἐργασαμένῳ. Καὶ τὰ μὲν Ἑλλήνων ἔσβεσται ἅπαντα καὶ ἠφάνισται, τὰ δὲ τούτου καθ' ἑκάστην λαμπρότερα γίνεται. Ἐξ ὅτου γὰρ καὶ οὗτος καὶ οἱ λοιποὶ ἁλιεῖς, ἐξ ἐκείνου τὰ μὲν Πυθαγόρου σεσίγηται καὶ τὰ Πλάτωνος, δοκοῦντα πρότερον κρατεῖν, καὶ οὐδὲ ἐξ ὀνόματος αὐτοὺς ἴσασιν οἱ πολλοί· καίτοι Πλάτων καὶ τυράννοις συνεγένετο μετακληθεὶς, ὥς φασι, καὶ πολλοὺς ἔσχεν ἑταίρους, καὶ εἰς Σικελίαν ἔπλευσε· E Πυθαγόρας δὲ τὴν μεγίστην Ἑλλάδα καταλαβὼν, καὶ γοητείας [e] κινήσας εἴδη μυρία. Τὸ γὰρ
10
βουσὶ διαλέγεσθαι (καὶ γὰρ καὶ τοῦτό φασιν αὐτὸν πε- A
ποιηκέναι) οὐδὲν ἕτερον ἢ γοητείας ἦν. Καὶ δῆλον μάλιστα ἐκεῖθεν. Ὁ γὰρ τοῖς ἀλόγοις οὕτω διαλεγόμενος, τὸ τῶν ἀνθρώπων οὐδὲν ὠφέλησε γένος, ἀλλὰ καὶ τὰ μέγιστα ἔβλαψε. Καίτοι γε ἐπιτηδειοτέρα πρὸς φιλοσοφίας λόγον ἡ φύσις ἡ τῶν ἀνθρώπων ἦν· ἀλλ' ὅμως ἐκεῖνος ἀετοῖς μὲν καὶ βουσὶ διελέγετο, καθάπερ φασὶ, γοητεύων. Οὐδὲ γὰρ τὴν ἄλογον λογικὴν ἐποίησε φύσιν (οὐδὲ γὰρ δυνατὸν ἀνθρώπῳ τοῦτο), ἀλλὰ μαγγανείαις τοὺς ἀνοήτους ἠπάτα· καὶ ἀνθρώπους ἀφεὶς διδάξαι τι τῶν χρησίμων, ἐπαίδευσεν ὅτι ἴσον ἦν κυάμους φαγεῖν καὶ τὰς τῶν γεννησαμένων κεφαλάς· B καὶ τοὺς συνόντας ἔπειθεν, ὅτι δὴ ἡ τοῦ διδασκάλου ψυχὴ, ποτὲ μὲν θάμνος ἐγίνετο, ποτὲ δὲ κόρη, ποτὲ δὲ ἰχθύς. Ἆρ' οὐκ εἰκότως πάντα ἐσβέσθη ἐκεῖνα, καὶ ἠφανίσθη τέλεον; Εἰκότως, καὶ κατὰ λόγον. Ἀλλ' οὐ τὰ τοῦ ἰδιώτου καὶ ἀγραμμάτου οὕτως· ἀλλὰ καὶ Σύροι, καὶ Αἰγύπτιοι, καὶ Ἰνδοὶ, καὶ Πέρσαι, καὶ Αἰ-

divinitus inspirata sint, quia nempe auditoribus omnibus semper doctrinam suam persuaserint;) quis immanentem in eo virtutem non mirabitur? Illud enim, ut jam dixi, maximo signo est, ipsum non ex seipso doctrinam et leges proferre. Hic itaque barbarus evangelio suo universum comprehendit orbem, corpore autem mediam tenuit Asiam, ubi olim philosophabantur omnes Græcæ disciplinæ homines; hincque dæmonibus est formidabilis, quod in hostium medio fulgeat, illorum caliginem exstinguat, dæmonumque arcem diruat: anima autem in eum secessit locum, qui talia operanti competeret. Ac Græcorum quidem opiniones exstinctæ deletæque sunt; hujus vero res quotidie splendidiores evadunt. Ex quo enim hic et reliqui piscatores fuerunt, Pythagoræ Platonisque disciplinæ, quæ prius obtinere videbantur, silentio missæ sunt, ac ne nomine quidem illos norunt plerique. Atqui Plato tyrannos adiit accitus, ut aiunt, amicos habuit multos, atque in Siciliam navigavit: Pythagoras vero magnam adiens Græciam, præstigias induxit innumeras; nam quod cum bobus loqueretur (id enim de illo narratur), non nisi magica arte præstari poterat. Hincque maxime palam est, quod is qui bruta sic alloquebatur, nihil utilitatis hominibus præstaret, imo ipsis multum noceret. Certe aptior ad philosophiam erat hominum natura: attamen ille cum aquilis et bobus, ut aiunt, per præstigias loquebatur. Non ille rationis expertem naturam rationalem effecit; id quod homo non potest: sed præstigiis stultos decipiebat. Non utili doctrina homines instituebat; sed docebat idem esse fabas edere et parentum capita devorare; auditoribusque persuadebat, doctoris sui animam, modo fruticem, modo puellam, modo piscem effici. Annon jure illa exstincta penitus deletaque sunt? Certe jure ac merito, ut ratio postulabat. At non sic illa quæ ad rudem illum et illiteratum pertinent: verum Syri, Ægyptii, Indi, Persæ, Æthiopes, innumeræque aliæ gentes, dogmata ab illo inducta in

De Platone et Pythagora.

Μεγίστη Ἑλλάς est magna Græcia.

Barbaræ gentes nunc Christianæ philosophantur.

[c] Savil. εὐαγγελίου συγγραφῇ, unus εὐαγγελίου φωνῇ, Morel. et maxima pars Mss. εὐαγγελίου γραφῇ.

[d] Post ἅπαντες Morel. et quidam Mss. κἀκεῖθεν τοῖς δαίμοσίν ἐστι φοβερός. Quæ verba in Savil. et aliis desunt. Verum a Francisco Aretino interprete lecta sunt.

[e] Savil. et omnes pene Mss. κινήσας. Morel. ἐπιδείξας. De Platonis in Siciliam appulsu multi narraverunt. De Pythagoræ cum bobus et aquilis colloquio nusquam me legere memini; nisi forte referatur ad id quod ait Diogenes Laertius in principio vitæ Pythagoræ, animam ejus in quas vellet arbores vel animantes commigrasse; cætera quæ de Pythagora sequuntur, vide apud Diogenem Laertium.

linguam suam transferentes, barbari licet essent, philosophari didicerunt.

3. Non ergo frustra dicebam, totum orbem theatrum ipsi fuisse. Neque enim missis congeneribus, vanam brutis instituendis operam ponebat; quod supervacaneum studium et ingens insipientia fuisset; sed et hujus et aliorum expers vitiorum, id unum curabat, ut totus orbis utile quidpiam edisceret, quod posset illum a terra in cælum transferre. Ideoque non caligine et tenebris doctrinam suam involvit, ut illi, qui pravæ doctrinæ suæ obscuritatem ceu velum quodpiam obtendebant; sed hujus dogmata sunt radiis solaribus clariora: ideo omnibus per orbem hominibus patefacta sunt. Non enim quinque annorum silentium accedentibus imperabat, ut ille; nec sic docebat, ut insensilibus lapidibus assideret; neque numeris omnia definiri fabulabatur: sed abjecta omni hujusmodi ingrata doctrina et pernicie satanica, tantam verbis admiscuit facilitatem, ut non modo viris et sapientibus, sed etiam mulierculis et adolescentibus dicta omnia perspicua essent. Illa enim vera et utilia audituris esse confirmavit totum, quod postea sequutum est, tempus: nam totum ad se pertraxit orbem, et ab omni aliena tragœdia vitam nostram liberavit, postquam hæc audita fuere. Quapropter quotquot hæc audimus, animam effundere optamus potius, quam a dogmatibus ab illo traditis absistamus. Hinc ergo et omni ex parte liquet, nihil humanum ab ipso, sed divina et cælestia esse dogmata, quæ a divina illa anima ad nos pervenerunt. Neque enim verborum strepitum, non dictionis fucum, neque nominum verborumque ornatum et compositionem superfluam vel inutilem videbimus (hæc quippe procul sunt ab omni philosophia); sed vim invictam et divinam, et rectorum dogmatum immensam virtutem, innumerabiliumque bonorum largitionem. Nam in prædicatione nimia verborum curiositas superflua esset, et sophistis digna; imo non sophistis, sed pueris insipientibus; ita ut apud eos ipse philosophus induceret magistrum suum quem suæ artis pudebat, quique dicebat judicibus, ipsos audituros ab se esse verba sine artificio, et ut casus ferebat, prolata; non exquisitis ornata dictis, non verbis et nominibus

θίοπες, καὶ μυρία ἕτερα ἔθνη, εἰς τὴν αὐτῶν μεταβαλόντες γλῶτταν τὰ παρὰ τούτου δόγματα εἰσαχθέντα, ἔμαθον ἄνθρωποι βάρβαροι φιλοσοφεῖν.

Οὐκ ἄρα μάτην ἔλεγον, ὅτι αὐτῷ θέατρον γέγονε πᾶσα ἡ οἰκουμένη· οὐ γὰρ δὴ τοὺς ὁμοφύλους ἀφεὶς [a] περὶ τὰς τῶν ἀλόγων ἐματαιοπόνει φύσεις· ὃ περιτ-
C τῆς φιλοτιμίας καὶ ἐσχάτης ἀνοίας ἦν· ἀλλὰ μετὰ τῶν ἄλλων καὶ τούτου καθαρεύων τοῦ πάθους, ἓν μόνον ἐσπούδασεν, ὅπως ἡ οἰκουμένη πᾶσα μάθοι τι τῶν χρησίμων καὶ δυναμένων αὐτὴν ἀπὸ τῆς γῆς μεταστῆσαι πρὸς τὸν οὐρανόν. Διὰ τοῦτο οὐδὲ ζόφῳ τινὶ καὶ σκότῳ ἔκρυψεν ἑαυτοῦ τὴν διδασκαλίαν, καθάπερ ἐποίουν ἐκεῖνοι, τῶν ἔνδον ἐναποκειμένων κακῶν τὴν ἐν τῷ λέγειν ἀσάφειαν καθάπερ τι παραπέτασμα προβαλλόμενοι· ἀλλὰ τὰ τούτου δόγματα τῶν ἡλιακῶν ἀκτίνων ἐστὶ [b] φανερώτερα· διὸ καὶ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην ἀνθρώποις ἀνήπλωται. Οὐ γὰρ πέντε ἔτη κελεύων τοὺς προσιόντας σιγᾷν, καθάπερ ἐκεῖ-
D νος, οὐδὲ ὡς ἀναισθήτοις παρακαθῆσθαι λίθοις, οὕτως ἐδίδασκεν, οὐδὲ ἐν ἀριθμοῖς εἶναι τὸ πᾶν διοριζόμενος ἐμυθολόγει· ἀλλ' ἀποῤῥίψας τὴν σατανικὴν ταύτην ἀηδίαν ἅπασαν καὶ λύμην, τοσαύτην τοῖς ῥήμασιν ἐγκατέμιξεν εὐκολίαν, ὡς μὴ μόνον ἀνδράσι καὶ συνετοῖς, ἀλλὰ καὶ γυναιξὶ καὶ νέοις ἅπαντα εἶναι τὰ λεγόμενα δῆλα. Ἐπίστευσε γὰρ αὐτὰ ἀληθῆ τε [c] εἶναι καὶ χρήσιμα τοῖς ἀκουσομένοις ἅπασι· καὶ μαρτυρεῖ πᾶς ὁ μετ' ἐκεῖνον χρόνος. Ὅλην τε γὰρ πρὸς ἑαυτὸν ἐφειλκύσατο τὴν οἰκουμένην, καὶ πάσης ἀλλοκότου τραγῳδίας τὸν ἡμέτερον ἀπήλλαξε βίον, μετὰ τὴν τῶν λόγων [d] τούτων ἀκρόασιν. Διά τοι τοῦτο
E τῆς ψυχῆς ἑλοίμεθα ἂν ἐκστῆναι μᾶλλον οἱ ταῦτα ἀκούοντες, ἢ τῶν δογμάτων τῶν ὑπ' ἐκείνου παραδοθέντων ἡμῖν. Καὶ ἐντεῦθεν τοίνυν καὶ πανταχόθεν δῆλον, ὅτι οὐδὲν ἀνθρώπινον τῶν τούτου, [e] ἀλλὰ θεῖά τε καὶ οὐράνιά ἐστι διδάγματα τὰ διὰ τῆς θείας ταύ-
11 A της εἰς ἡμᾶς ἐλθόντα ψυχῆς. Οὐ γὰρ κτύπον ῥημάτων, οὐδὲ λέξεως κόμπον, οὐδὲ ὀνομάτων καὶ ῥημάτων κόσμον καὶ συνθήκην ὀψόμεθα περιττὴν καὶ ἀνόνητον (πόῤῥω γὰρ ταῦτα φιλοσοφίας ἁπάσης), ἀλλ' ἰσχὺν ἄμαχον καὶ θείαν, καὶ δογμάτων ὀρθῶν ἀμήχανον δύναμιν, καὶ μυρίων ἀγαθῶν χορηγίαν. Ἡ γὰρ κατὰ τὴν ἀπαγγελίαν περιεργία οὕτω περιττὴ ἦν καὶ σοφιστῶν ἀξία, μᾶλλον δὲ οὐδὲ σοφιστῶν, ἀλλὰ μειρακίων ἀνοήτων, ὡς καὶ αὐτὸν τὸν παρ' αὐτοῖς φιλόσοφον εἰσαγαγεῖν τὸν διδάσκαλον τὸν αὐτοῦ σφόδρα ἐπαισχυνόμενον ταύτῃ τῇ τέχνῃ, καὶ λέγοντα τοῖς

[a] Morel. περὶ τάς. Savil. πρὸς τάς. Mox Savil. et Mss. pene omnes περιττῆς φιλοτιμίας. Morel. περὶ τῆς φιλοσοφίας. Infra Morel. πᾶσα μάθοι, Savil. πᾶσα μάθῃ.

[b] Quidam habent φανώτερα.

[c] ἔσεσθαι Morel.; εἶναι Savil. [Paulo ante quidam συνετοῖς, omisso καί.]

[d] τούτων ἀκρόασιν, sic Savil. et omnes pene Mss. Morel. τούτων ἀπαγγελίαν.

[e] Alii ἀλλὰ θεῖά τινα καὶ οὐράνια τὰ διδάγματα.

δικασταῖς, ὅτι ἀκούσονται [a] παρ' αὐτοῦ ῥήματα ἁπλῶς καὶ ὡς ἔτυχε λεγόμενα, οὐ μέντοι κεκαλλιεπημένα λόγοις, οὐδὲ ῥήμασί τε καὶ ὀνόμασι κεκοσμημένα. Οὐδὲ γὰρ ἂν δήπου πρέποι, φησὶν, ὦ ἄνδρες, τῇδε τῇ B ἡλικίᾳ, ὥσπερ μειρακίῳ πλάττοντι λόγους, εἰς ὑμᾶς αὐτὸν εἰσιέναι. Καὶ ὅρα τὸν πολὺν καταγέλωτα. [c] Ὃ γὰρ ὡς αἰσχρὸν καὶ φιλοσοφίας ἀνάξιον καὶ μειρακίων ἔργον ἐποίησεν αὐτὸν φεύγοντα, τοῦτο μάλιστα πάντων αὐτὸς ἐπετήδευσεν. Οὕτω πανταχοῦ φιλοτιμίας ἦσαν μόνης· [b] καὶ Πλάτωνος οὐδέν ἐστι θαυμάσαι, ἢ τοῦτο μόνον. Καὶ καθάπερ τῶν τάφων τοὺς ἔξωθεν κεκονιαμένους, ἂν ἀπαμφιάσῃς, ἰχῶρος, καὶ δυσωδίας, καὶ διεφθορότων ὄψει γέμοντας ὀστῶν· οὕτω καὶ τὰ τοῦ φιλοσόφου δόγματα, ἂν τῆς κατὰ τὴν λέξιν ἀπογυμνώσῃς ὥρας, πολλῆς ὄψει τῆς βδελυγμίας πε- C πληρωμένα, καὶ μάλιστα ὅταν περὶ ψυχῆς φιλοσοφῇ, ἀμέτρως τιμῶν τε αὐτὴν καὶ βλασφημῶν. Τοῦτο γὰρ ἡ διαβολικὴ παγὶς, μηδαμοῦ τὴν συμμετρίαν τηρεῖν, ἀλλὰ τοῖς ἐφ' ἑκάτερα πλεονασμοῖς πρὸς δυσφημίαν ἐξάγειν τοὺς ἁλισκομένους αὐτῇ. Νῦν μὲν γὰρ αὐτὴν τῆς τοῦ Θεοῦ φησιν οὐσίας εἶναι· νῦν δὲ αὐτὴν οὕτως ἀμέτρως καὶ ἀσεβῶς ἐπάρας, μεθ' ἑτέρας καθυβρίζει πάλιν ὑπερβολῆς, εἰς χοίρους καὶ ὄνους εἰσάγων, καὶ τὰ ἔτι τούτων ἀτιμότερα ζῶα. Ἀλλὰ τούτων μὲν ἅλις· μᾶλλον δὲ καὶ ταῦτα πέρα τοῦ μέτρου. Εἰ μὲν γάρ τι χρήσιμον παρ' αὐτῶν ἦν μαθεῖν, ἔδει καὶ πλέον ἐνδιατρίβειν· εἰ δὲ ὅσον τὴν ἀσχημοσύνην αὐτῶν καὶ D τὸν γέλωτα κατοπτεῦσαι, καὶ ταῦτα πλέον τοῦ δέοντος εἴρηται παρ' ἡμῶν. [c] Διὰ ταῦτα ἀφέντες τοὺς ἐκείνων μύθους, τῶν ἡμετέρων ἀψώμεθα δογμάτων, τῶν ἄνωθεν ἡμῖν κατενηνεγμένων διὰ τῆς γλώττης τούτου τοῦ ἁλιέως, τῶν μηδὲν ἐχόντων ἀνθρώπινον. Φέρε οὖν, αὐτὰς εἰς μέσον τὰς ῥήσεις ἀγάγωμεν, [καὶ] ὃ τὴν ἀρχὴν παρεκαλέσαμεν ὥστε μετὰ ἀκριβείας προσέχειν τοῖς λεγομένοις, [d] τοῦτο καὶ νῦν ὑπομνήσαντες. Τί οὖν ἀρχόμενος ὁ εὐαγγελιστὴς οὗτος εὐθέως φησίν; Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. Εἶδες παῤῥησίαν καὶ ἐξουσίαν ῥημάτων πολλήν; πῶς οὐδὲν ἀμφιβάλλων, οὐδὲ εἰκάζων, ἀλλὰ πάντα ἀποφαινόμενος φθέγγεται; Τοῦτο γάρ E ἐστι διδασκάλου, τὸ μὴ περιφέρεσθαι ἐν οἷς ἂν λέγῃ. 12 Εἰ γὰρ ὁ τοῖς ἄλλοις καθηγησόμενος ἑτέρου δεηθήσε- A ται τοῦ στηρίξαι δυνησομένου μετὰ ἀσφαλείας αὐτὸν, οὐ τὴν τῶν διδασκάλων, ἀλλὰ τὴν τῶν μαθητῶν τά-

selectis fucata. Neque enim par est, inquiebat, o viri, hujus ætatis virum, adolescentis proferre verba coram vobis judicibus. Ac vide quam sit B illud ridiculum. Quam enim rem tamquam turpem, philosophia indignam, adolescentiumque opus, magistrum suum fugere dixit, huic maxime ipse operam dedit. Ita ubique ambitioni studebant illi; nihilque præter hoc in Platone admiratione dignum videtur. Ac quemadmodum si sepulcra exterius dealbata aperueris, sanie, fœtore, corruptisque ossibus plena videbis: ita si philosophi dogmata dictionis ornatu nudaveris, multa videbis abominatione plena; maxime si de anima philosophetur, quam nimio honore ad blasphemiam C usque afficit. Hic enim diobolicus laqueus est, mensuram nusquam servare, sed in utrumque extremorum illo captos per pravam doctrinam deducere. Nunc enim illam ex Dei substantia esse dicit; nunc illam præter modum et impie elatam, per alteram hyperbolen deturpat, dum illam in porcos, asinos, inque viliora animantia inducit. Sed hæc satis sunto; imo ultra modum de his disseruimus. Si quid enim utile ab illis edisci posset, pluribus iis insistere oportuisset; sin vero tantum quantum ad eorum declarandam turpitudinem satis esset, dicendum oportuit, hæc plusquam satis D sunt. Quare missis illorum fabulis, jam nostra attingamus dogmata, quæ nobis per hujusce piscatoris linguam de cælo demissa sunt, quæque nihil habent humanum. Age ergo, hæc dicta in medium afferamus, et ut initio hortati sumus, dictis esse attendendum, hoc nunc iterum monemus. Quid ergo initio dicit evangelista? 1. *In principio erat Verbum, et Verbum erat apud Deum.* Vidistin' fiduciam et vim verborum maximam? quomodo nihil dubitans, nihil conjiciens, sed omnia affirmantis more loquatur? Hoc est E enim doctoris, non vacillare in iis quæ profert. Nam si is qui alios instituit, altero opus habeat, qui dicta sua confirmare possit, non doctorum, sed discipulorum ordinem jure obtineat. Si quis A vero dixerit, Cur prima omissa causa, statim nobis de secunda disserit? primum et secundum hic dicere recusabimus: divinitas enim et numero et

Contra metempsychosin.

[a] Savil. et Mss. pene omnes *παρ' αὐτοῦ ῥήματα ἁπλῶς καὶ εἰκῆ*. Morel. *παρ' αὐτοῦ δόγματα ἁπλῶς καὶ ὡς ἔτυχε*. [Paulo superius legebatur *αὐτὸν παρ' αὐτοῖς*. Articulum e Sav. et Cod. 706 inseruimus.]

[b] Post *ἦσαν μόνης* Morel. et Mss. plurimi addunt *καὶ Πλάτωνος οὐδέν ἐστι θαυμάσαι ἢ τοῦτο μόνον*, quæ Savil. in margine posuit. At sic legerat Interpres.

[c] Morel. *διὸ δήπου*. Infra post *κατενηνεγμένων* addit Morel. *διὰ τῆς γλώττης τούτου τοῦ ἁλιέως*, quam lectionem habent pauci Mss. Sic legit Franciscus Aretinus.

[d] Morel. *τοῦτο καὶ νῦν ὑπομνήσαντες, τοῖς εἰρημένοις προσθήσομεν*. Savil. hunc locum sic habet: *τοῦτο καὶ νῦν ὑπομνήσαντες. τί οὖν*, etc.

temporum consequentia superior est. Ideoque his repudiatis, Patrem confitemur ex nullo esse, Filiumque ex Patre natum.

Cur Joannes relicto Patre, de Filio disserat.

4. Recte, inquies : verum cur relicto Patre, de Filio disserit? Quia ille cognitus omnibus erat, si non ut Pater, saltem ut Deus : Unigenitus vero ignorabatur. Ideoque jure a principio statim ejus notitiam indere festinat iis qui ipsum non noverant. Alioquin vero Patrem in hoc sermone non tacuit. Ac vide mihi spiritualem prudentiam. Novit homines jam olim et ante omnia Deum præ omnibus colere et asserere. Ideo inde principium fecit, et progressus Deum esse dicit. Non sicut Plato alterum mentem, alterum animam esse dicit : hæc enim procul sunt a divina illa et immortali natura. Neque enim commune quidpiam nobiscum habet, sed longe est a communicatione cum creaturis; secundum substantiam dico, non secundum habitum. Ideo Verbum illum appellavit. Cum enim docturus esset hoc Verbum esse unigenitum Filium Dei, ne quis generationem passibilem suspicaretur, præmissa Verbi appellatione omnem tollit malam suspicionem, dum et Filium ex ipso esse, et impassibiliter Filium esse declarat. Viden' quomodo, ut jam dixi, cum de Filio loqueretur, Patrem non tacuit? Quod si hæc non satis sint ad totam rem declarandam, ne mireris. De Deo namque nobis est sermo, quem pro dignitate neque dicere, neque cogitare possumus. Ideo hic substantiæ nomen nusquam ponit : quia nemo potest dicere quid Deus sit secundum substantiam : ubique autem illum nobis ex operibus demonstrat. Siquidem hoc Verbum videre est postea lucem dictum, et lucem rursus appellari vitam. Neque hac solum de causa sic illum vocavit : sed hæc prima causa est secunda, quia quæ Patris erant nobis

Joan. 15. 15.

erat nuntiaturus; nam ait : *Omnia quæ audivi a Patre, annuntiavi vobis.* Vocat autem illum et vitam et lucem : nam cognitionis lucem nobis dedit, et ex luce vitam. In summa non unum nomen, non duo, non tria, non plura satis sunt ad ea quæ Deum spectant edocenda : sed optandum est, ut etiam per multa vel obscure possimus ea quæ ad Deum spectant complecti. Non autem sim-

ξιν ἐπέχειν ἂν εἴη δίκαιος. Εἰ δὲ λέγοι τις, καὶ τί δήποτε τὸ πρῶτον αἴτιον ἀφεὶς, εὐθέως ἡμῖν περὶ τοῦ δευτέρου διείλεκται; τὸ μὲν πρῶτον καὶ τὸ δεύτερον παραιτησόμεθα λέγειν· [a] ἀριθμοῦ γὰρ τὸ θεῖον ἀνώτερον καὶ χρόνων ἀκολουθίας. Διὸ καὶ ταῦτα μὲν παρῃτησάμεθα· Πατέρα δὲ ὁμολογοῦμεν ἐξ οὐδενὸς ὄντα, καὶ Υἱὸν ἐκ Πατρὸς γεγεννημένον.

Ναὶ, φησί· τί δήποτ' οὖν τὸν Πατέρα ἀφεὶς περὶ τοῦ Υἱοῦ διαλέγεται; Ὅτι ἐκεῖνος μὲν δῆλος ἅπασιν B ἦν, εἰ καὶ μὴ ὡς Πατὴρ, ἀλλ' ὡς Θεός· ὁ δὲ Μονογενὴς ἠγνοεῖτο. Διὸ εἰκότως τὴν περὶ τούτου γνῶσιν εὐθέως ἐκ προοιμίων ἔσπευσεν ἐνθεῖναι τοῖς οὐκ εἰδόσιν αὐτόν· ἄλλως τε οὐδὲ τὸν Πατέρα ἐν τοῖς περὶ τούτων λόγοις ἀπεσιώπησε. Καὶ θέα μοι τὴν σύνεσιν τὴν πνευματικήν. Οἶδε τοὺς ἀνθρώπους τὸ πρεσβύτερον καὶ τὸ πρὸ πάντων μάλιστα τιμῶντας καὶ τιθεμένους Θεόν. Διὰ τοῦτο ἐντεῦθεν πρῶτον ποιεῖται τὴν ἀρχὴν, καὶ προϊὼν καὶ Θεόν φησιν εἶναι· καὶ οὐχ ὡς Πλάτων, τὸν μὲν νοῦν, τὸν δὲ ψυχὴν * λέγων εἶναι· ταῦτα γὰρ πόῤῥω τῆς θείας καὶ ἀκηράτου φύσεως. Οὐδὲ γὰρ ἔχει τι κοινὸν πρὸς ἡμᾶς, ἀλλὰ ἀνακεχώρηκε τῆς πρὸς τὴν κτίσιν κοινωνίας, τῆς κατ' οὐσίαν λέγω, οὐ C μὴν τῆς κατὰ τὴν σχέσιν. Διά τοι τοῦτο καὶ Λόγον αὐτὸν ἐκάλεσεν. Ἐπειδὴ γὰρ μέλλει διδάσκειν, ὅτι οὗτος ὁ Λόγος μονογενής ἐστιν Υἱὸς τοῦ Θεοῦ, ἵνα μὴ παθητὴν ὑπολάβοι τις τὴν γέννησιν, προλαβὼν τῇ τοῦ Λόγου [b] προσηγορίᾳ, πᾶσαν ἀναιρεῖ τὴν πονηρὰν ὑποψίαν, τό τε ἐξ αὐτοῦ τὸν Υἱὸν εἶναι δηλῶν, καὶ τὸ ἀπαθῶς. Ὁρᾷς ὅτι, ὅπερ εἶπον, οὐδὲ τὸν Πατέρα ἐν τοῖς περὶ τοῦ Υἱοῦ λόγοις ἀπεσιώπησεν; Εἰ δὲ οὐκ ἀρκεῖ ταῦτα τὰ ὑποδείγματα παραστῆσαι τὸ πᾶν, μὴ θαυμάσῃς. Περὶ Θεοῦ γὰρ ἡμῖν ὁ λόγος, ὃν οὔτε εἰπεῖν, D οὔτε νοῆσαι κατ' ἀξίαν δυνατόν. Διὸ καὶ οὗτος οὐσίας μὲν οὐδαμοῦ τίθησιν ὄνομα· οὐδὲ γὰρ δυνατὸν εἰπεῖν αὐτὸ ὅ τι ποτέ ἐστι τὴν οὐσίαν ὁ Θεός· πανταχοῦ δὲ ἡμῖν αὐτὸν ἀπὸ τῶν ἐνεργειῶν δηλοῖ. Τὸν δὲ Λόγον τοῦτον ἴδοι τις ἂν μικρὸν ὕστερον καὶ φῶς λεγόμενον, καὶ τὸ φῶς πάλιν ὀνομαζόμενον ζωήν. [c] Οὐ ταύτης δὲ μόνον ἕνεκεν τῆς αἰτίας οὕτως ὠνόμασε αὐτόν· ἀλλὰ πρώτης μὲν ταύτης· δευτέρας δὲ, ἐπειδὴ τὰ τοῦ Πατρὸς ἡμῖν ἔμελλεν ἀπαγγέλλειν· Πάντα γὰρ, φησὶν, ὅσα ἤκουσα παρὰ τοῦ Πατρὸς, ἀνήγγειλα ὑμῖν. Καλεῖ δὲ αὐτὸν καὶ ζωὴν καὶ φῶς· τὸ γὰρ ἀπὸ τῆς γνώσεως φῶς ἡμῖν ἐχαρίσατο, καὶ τὴν ἐντεῦθεν ζωήν. Καὶ E ὅλως οὐκ ἔστιν ὄνομα ἓν ἀρκοῦν, οὐδὲ δύο καὶ τρία, [d] οὐδὲ πλείω διδάξαι τὰ περὶ Θεοῦ· ἀλλ' ἀγαπητὸν διὰ πολλῶν γοῦν δυνηθῆναι κἂν ἀμυδρῶς περιδράξασθαι τῶν προσόντων αὐτῷ. Οὐχ ἁπλῶς δὲ αὐτὸν Λόγον εἴρηκεν,

[a] Hic Morel. post παραιτησόμεθα λέγειν adjicit οὐ γὰρ ἡμέτερα ταῦτα. Savil. hæc in margine posuit.

* [ἔλεγεν Savil. et Cod. 706.]

[b] Savil. et quidam alii προσηγορίᾳ, προαναιρεῖ.

[c] Post ὀνομαζόμενον ζωήν Morel. addit καὶ τὴν ζωὴν ἀλήθειαν, quæ in margine ponuntur a Savil.

[d] οὐδὲ πλείω deest in quibusdam Mss.

ἀλλὰ μετὰ τῆς τοῦ ἄρθρου προσθήκης, τῶν λοιπῶν αὐτὸν καὶ ταύτῃ χωρίζων. Ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι ἀπὸ τῶν οὐρανῶν φθέγγεται ἡμῖν ὁ εὐαγγελιστὴς οὗτος; Ὅρα γοῦν * εὐθὺς ἐκ προοιμίων ποῦ τὴν ψυχὴν πτερώσας καὶ τὴν διάνοιαν ἀνήγαγε τῶν ἀκουόντων. Πάντων γὰρ τῶν αἰσθητῶν ἀνωτέρω στήσας αὐτὴν, πρὸ γῆς, πρὸ θαλάσσης, πρὸ οὐρανοῦ, καὶ ὑπὲρ τοὺς ἀγγέλους χειραγωγεῖ, καὶ ὑπεράνω τῶν Χερουβὶμ καὶ τῶν Σεραφὶμ, καὶ ὑπὲρ τοὺς θρόνους, καὶ ὑπὲρ τὰς ἀρχὰς, καὶ ὑπὲρ τὰς ἐξουσίας, καὶ πάσης ἁπλῶς ἐπέκεινα κτίσεως ὁδοιπορεῖν ἀναπείθει. Τί οὖν; ἆρα πρὸς τοσοῦτον [a] ἀναγαγὼν ὕψος, ἐνταῦθα γοῦν ἡμᾶς στῆσαι ἴσχυσεν; Οὐδαμῶς· ἀλλ' ὥσπερ εἴ τις τὸν ἑστῶτα παρ' αἰγιαλὸν, καὶ βλέποντα πόλεις, καὶ ἀκτὰς, καὶ λιμένας, ἐπειδὰν εἰς μέσον ἀγάγῃ πελάγους, τῶν μὲν προτέρων ἀπέστησεν, οὐ μὴν ἔστησέ που τὸ ὄμμα αὐτῷ, ἀλλ' εἰς ἄπειρον ἤγαγε θεωρίαν· οὕτω καὶ ὁ εὐαγγελιστὴς πάσης ἡμᾶς ἀνωτέρω τῆς κτίσεως ἀγαγὼν, καὶ πρὸς τοὺς ἀνωτέρω ταύτης παραπέμψας αἰῶνας, μετέωρον τὸ ὄμμα ἀφίησιν, οὐ διδοὺς ἐπιλαβέσθαι τινὸς τέλους εἰς τὸ ἄνω, ἐπειδὴ μηδέ ἐστιν. Ἀνελθὼν γὰρ εἰς ἀρχὴν ὁ λόγος, ζητεῖ ποίαν ἀρχήν· εἶτα τὸ Ἦν εὑρίσκων, ἀεὶ φθάνον αὐτοῦ τὴν διάνοιαν, οὐκ ἔχει ποῦ στῆσαι τὸν λογισμὸν, ἀλλ' ἀτενὲς ἐνορῶν καὶ μηδαμοῦ λῆξαι δυνάμενος, ἀποκαμὼν ὑποστρέφει πάλιν ἐπὶ τὰ κάτω. Τὸ γὰρ, Ἐν ἀρχῇ ἦν, οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ τοῦ εἶναι ἀεὶ δηλωτικὸν, καὶ ἀπείρως εἶναι. Εἶδες φιλοσοφίαν ἀληθῆ καὶ δόγματα θεῖα, οὐχ οἷα τῶν Ἑλλήνων, χρόνους τιθέντων, καὶ τοὺς μὲν πρεσβυτέρους, τοὺς δὲ νεωτέρους εἶναι λεγόντων θεούς; Ἀλλ' [b] οὐδὲν τοιοῦτον παρ' ἡμῖν. Εἰ γὰρ Θεός ἐστιν, ὥσπερ οὖν καὶ ἔστιν, οὐδὲν πρὸ αὐτοῦ· εἰ δημιουργὸς πάντων, πρῶτος αὐτός· εἰ Δεσπότης καὶ Κύριος ἁπάντων, πάντα μετ' αὐτὸν, καὶ κτίσματα καὶ αἰῶνες. Ἐβουλόμην καὶ εἰς ἀγῶνας καθεῖναι ἑτέρους. ἀλλ' ἴσως ἀπέκαμεν [c] ἡμῖν ἡ διάνοια. Διὸ παραινέσας ἐκεῖνα, ἅπερ ἐστὶν ὑμῖν καὶ πρὸς τὴν τῶν εἰρημένων, καὶ πρὸς τὴν τῶν λεχθησομένων ἀκρόασιν χρήσιμα, πάλιν σιγήσομαι. Τίνα δὴ οὖν ταῦτά ἐστιν; Οἶδα πολλοὺς ἰλιγγιάσαντας πρὸς τὸ τῶν λεχθέντων μῆκος. Τοῦτο δὲ γίνεται, ὅταν ἡ ψυχὴ πολλοῖς φορτίοις βαρύνηται βιωτικοῖς. Καθάπερ γὰρ τὸ ὄμμα, ὅταν μὲν καθαρὸν ᾖ καὶ διαυγὲς, ὀξυδερκές τέ ἐστι, καὶ οὐκ ἂν ἀποκάμοι ῥᾳδίως καὶ τὰ λεπτότατα σώματα καταμανθάνον, ἐπειδὰν δὲ χυμοῦ τινος ἀπὸ τῆς κεφαλῆς ἐπιῤῥεύσαντος πονηροῦ, ἢ κάτωθεν λιγνύος καπνώδους ἀνενεχθείσης, πυκνή τις πρὸ τῆς

pliciter Verbum appellavit, sed cum articuli adjectione a reliquis ipsum distinxit. Viden' me non
13 frustra dixisse hunc evangelistam nobis de cælo
A loqui? Animadverte enim, quo sublimitatis statim a principio auditorum mentem et animam evexerit. Postquam enim illam supra omnia quæ sub sensum cadunt, supra terram, mare, cælum evexit, etiam supra Cherubim, Seraphim, Thronos, Principatus, Potestates, supra omnem denique creaturam incedere suasit. Quid igitur? an postquam nos ad tantam sublimitatem deduxit, ibi nos sistere potuit? Nequaquam; sed perinde ac si quis stantem ad litus maris, ac respicientem urbes, oras, portus; postquam in medium pelagus
B adduxerit, a prioribus quidem amovit, at aspectui ejus terminos non posuit, sed immensum ipsi spectaculum dedit: sic et evangelista postquam nos supra omnem creaturam induxit, et ad superiora creaturis sæcula misit, sublimem oculum mentis relinquit, qui nullum finem in supernis attingere possit, eo quod nullus sit. Nam ubi ad principium ascendit ratio, quærit quid sit illud principium: deinde ubi illud, *Erat*, reperit, semper ulterius mente procedens, ubi cogitationem sistat non ha-
C bet: sed intente respiciens, cum terminum non reperiat, defessus rursum ad inferiora descendit. Illud enim, *In principio erat*, nihil aliud significat, quam quod semper fuerit, et æternus sit.

Vera philosophia quæ.

Viden' veram philosophiam, et divina dogmata, non qualia Græcorum, qui tempora constituunt, et deos alios seniores, alios juniores dicunt? At nihil apud nos simile. Si enim Deus est, ut revera est, nihil est ante illum; si Creator omnium, ipse primus est; si Dominus et dominator omnium, omnia post ipsum sunt, et opificia et sæcula. Volebam in alia certamina descendere, sed fortasse
D fatiscit vobis animus. Quare post quædam monita, quæ vobis ad dictorum et dicendorum captum erunt utilia, finem dicendi faciam. Quænam igitur ea sunt? Scio multos dictorum longitudinem fastidire. Hoc vero tunc fit, cum anima multis sæcularibus curis sarcinisque obruitur. Sicut enim visus, dum purus lucidusque est, acute videt, neque laborat cum vel tenuissima corpora perspicit: quando autem de capite malus humor aliquis defluit, vel densa quædam nebula, ex infimis partibus ascendens, ante pupillam sistitur, ne cras-

* [Savil. *ἐκ προοιμίων εὐθὺς π. τ. ψ. πτ. ἀνείλκυσε, καὶ* etc. Cod. 706 *τὴν ψυχὴν ἀνείλκυσε, καὶ* etc.]

a Alii *ἀνάγων ὕψος*. Ibid. Savil. et alii *ἐνταῦθα γοῦν ἡμᾶς*, Morel. *ἐνταῦθα δή*.

b Alii *οὐδὲν τούτων*.

c [*ἡμῖν* addidimus e Savil. et Cod. 706. Expressit quoque Interpres.]

siora quidem clare perspicere potest: sic et in anima contingit. Cum enim expurgata, nullo animi morbo turbatur, acute intuetur ea quæ videre opus est; cum porro multis fœdata affectibus, virtutem pristinam amiserit, non facile potest sublimia attingere: sed statim fatiscit et decidit, et ad somnum ignaviamque declinat, atque ea, quæ ad virtutem et vitam probam pertinent, prætermittit, neque illa diligenter adit.

5. Quod ne vobis accidat (neque enim hæc dicendi finem faciam), vestrum roborate animum, ut ne eadem audiatis, quæ fidelibus Hebræis a Paulo dicta sunt. Nam illis grandem dicit esse sermonem et interpretatu difficilem: non quod natura sua talis esset, sed quia, inquit, *Imbecilles facti estis ad audiendum*. Nam qui imbecillus est et infirmus, perinde brevi atque longa oratione turbatur, et quæ clara expeditaque sunt, captu difficilia arbitratur. Verum nullus hic talis esto, sed omni depulsa sæculi cura, quisque hanc doctrinam audiat. Cum enim auditor pecuniarum cupiditate tenetur, non potest certe cupide audire; neque enim potest anima una multis sufficere cupiditatibus; sed alia aliam cupiditatem pellit, et discissa anima infirmior evadit, dum altera prævalens cupiditas, totum ad se trahit. Quod etiam in liberis contingere solet. Nam cum unum tantum quis habet, eum supra modum amat; cum multos, divisus amor minor ad singulos efficitur. Quod si ubi illa vis et ceu tyrannis est, atque ejusdem generis sunt ii qui diliguntur, ita contingit: quid dixerimus de amore qui ex voluntate et affectu prodit, maxime vero cum amores illi sese mutuo impugnant? Contrarius enim est pecuniarum amor doctrinæ hujus amori. In cælum intramus cum huc ingredimur. Non de loco, sed de affectu loquor: potest enim qui in terra degit, in cælo stare, et cælestia cogitare, imo audire. Nemo igitur in cælum terrena inducat: nemo dum hic versatur, de re domestica sollicitus sit. Oporteret enim lucra hinc hausta domum et in forum deferri, non autem ecclesiam domesticis et forensibus sarcinis gravari. Ideo namque ad doctrinæ thronum ingredimur, ut hinc externas illas sordes deponamus. Quod si debeamus hoc tantillum otii

Hebr. 5. 11.

Anima una non potest multis sufficere cupiditatibus.

E χόρης γένηται νεφέλη, οὐδὲν οὐδὲ τῶν παχυτέρων σαφῶς ἀφίησι συνιδεῖν· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς γίνεσθαι πέφυκεν. Ὅταν μὲν γὰρ ἐκκεκαθαρμένη τυγχάνῃ, καὶ μηδὲν ἔχῃ πάθος ἐνοχλοῦν, ἀτενὲς ἐνορᾷ πρὸς ἅπερ ἐνορᾷν χρή· ὅταν δὲ πολλοῖς ἐπιθολωθεῖσα πάθεσιν, ἀπολέσῃ [d] τὴν ἑαυτῆς ἀρετὴν, πρὸς οὐδὲν τῶν ὑψηλῶν ἀρκέσαι δύναται ῥᾳδίως, ἀλλὰ ἀποκάμνει ταχέως καὶ ἀναπίπτει, καὶ πρὸς ὕπνον ἀποκλίνασα καὶ ῥᾳθυμίαν, τὰ πρὸς ἀρετὴν καὶ ζωὴν τὴν ἐκ ταύτης αὐτῇ διαφέροντα παραπέμπεται, καὶ οὐ προσίεται μετὰ προθυμίας πολλῆς.

14 A Ὅπερ ἵνα μὴ καὶ ὑμεῖς πάθητε (οὐ γὰρ παύσομαι ταῦτα ἀεὶ παραινῶν), ἐπιῤῥώσατε ὑμῶν τὴν διάνοιαν, ἵνα μὴ τὰ αὐτὰ ἀκούσητε, ἅπερ οἱ πιστοὶ τῶν Ἑβραίων παρὰ Παύλου. Καὶ γὰρ ἐκείνοις πολὺν ἔφησε τὸν λόγον γεγενῆσθαι, καὶ δυσερμήνευτον, οὐχ ἐπειδὴ φύσει τοιοῦτος ἦν, ἀλλ' ἐπειδὴ, φησὶν, ὑμεῖς Νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. Ὁ γὰρ ἀσθενὴς καὶ ἄῤῥωστος, καὶ ὑπὸ τῆς βραχυλογίας ὡς ὑπὸ μακρηγορίας παρενοχλεῖσθαι πέφυκε, καὶ τὰ σαφῆ καὶ τὰ εὐδιάλυτα δυσκατάληπτα εἶναι νομίζει. Ἀλλὰ μηδεὶς ἔστω ἐνταῦθα τοιοῦτος· ἀλλὰ πᾶσαν ἀπελάσας φροντίδα βιωτικὴν, B οὕτω τούτων ἀκουέτω τῶν δογμάτων. Ὅταν γὰρ ἐπιθυμία χρημάτων κατέχῃ τὸν ἀκροατὴν, οὐκ ἂν δύναιτο καὶ ἐπιθυμίᾳ κατασχεῖν ἀκροάσεως ὁμοίως, ἐπειδὴ μηδὲ ἀρκεῖ πολλαῖς ἐπιθυμίαις μία τυγχάνουσα ἡ ψυχὴ, ἀλλ' ἡ ἑτέρα τῇ ἑτέρᾳ λυμαίνεται, καὶ σχιζομένη ἀσθενεστέρα γίνεται, ἐπικρατούσης τῆς ἑτέρας καὶ τὸ πᾶν εἰς ἑαυτὴν δαπανώσης. Τοῦτο καὶ ἐπὶ παίδων συμβαίνειν εἴωθεν. Ὅταν μὲν γὰρ ἕνα τις ἔχῃ μόνον, μεθ' ὑπερβολῆς ἀγαπᾷ τὸν ἕνα· ὅταν δὲ πολλῶν γένηται παίδων πατὴρ, καὶ τὰ τῆς διαθέσεως διαιρεθέντα ἀσθενέστερα γίνεται. Εἰ δὲ ἔνθα φυσικὴ τυραννὶς καὶ δύναμις, καὶ συγγενῆ τὰ φιλούμενα, τοῦτο συμβαίνει· τί ἂν εἴποιμεν ἐπὶ τῆς κατὰ προαίρεσιν C ἐπιθυμίας καὶ διαθέσεως, καὶ μάλιστα ὅταν οἱ ἔρωτες οὗτοι ἀπ' ἐναντίας ἀλλήλοις διακέωνται; Ἐναντίον γὰρ χρημάτων ἔρως ἔρωτι τοιαύτης ἀκροάσεως. Εἰς τὸν οὐρανὸν εἴσιμεν εἰσιόντες ἐνθάδε. Οὐ τῷ τόπῳ λέγω, ἀλλὰ τῇ διαθέσει· ἔνεστι γὰρ καὶ ἐπὶ γῆς ὄντα ἑστάναι ἐν οὐρανῷ, καὶ τὰ ἐκεῖ φαντάζεσθαι, καὶ τὰ ἐκεῖθεν ἀκούειν. Μηδεὶς οὖν τῷ οὐρανῷ τὰ τῆς γῆς ἐπεισαγέτω· μηδεὶς ἐνταῦθα ἑστὼς, τὰ κατὰ τὴν οἰκίαν μεριμνάτω. Τὴν γὰρ οἰκίαν καὶ τὴν ἀγορὰν ἔδει τὰ ἐντεῦθεν περιφέρειν κέρδη καὶ ἔχειν, οὐ ταύτην τοῖς D ἐκ τῆς οἰκίας καὶ τῆς ἀγορᾶς φορτίοις βαρύνεσθαι. Διὰ ταῦτα εἴσιμεν παρὰ τὸν τῆς διδασκαλίας [a] θρόνον, ἵνα

[d] Savil. et quidam alii τὴν αὐτῆς. [Paulo ante Savil. et Cod. 706 ὅταν μὲν sine γάρ.]

[a] θρόνον. Savil.: *Malo χρόνον, ut aptius huic loco.* Mss. omnes θρόνον habent. Ibid. Savil. et Morel. ἀποῤῥυψώμεθα, Manuscripti multi ἀποτριψώμεθα, unus ἀποῤῥιψώμεθα, alius ἀπονιψώμεθα. Hæ omnes lectiones ferri possunt.

ἐντεῦθεν τὸν ἔξωθεν ἀποῤῥυψώμεθα ῥύπον. Ἂν δὲ μέλλωμεν καὶ τῇ μικρᾷ ταύτῃ σχολῇ ἀπὸ τῶν [b] ἔξω λεγομένων ἢ πραττομένων λυμαίνεσθαι, βέλτιον μηδὲ εἰσελθεῖν τὴν ἀρχήν. Μηδεὶς τοιγαροῦν ἐν ἐκκλησίᾳ τὰ κατὰ τὴν οἰκίαν μελετάτω, ἀλλὰ καὶ ἐν οἰκίᾳ τὰ κατὰ τὴν ἐκκλησίαν κινείτω. Πάντων ἡμῖν ἔστω ταῦτα τιμιώτερα. Τῆς γὰρ ψυχῆς ταῦτά ἐστι, τοῦ σώματος δὲ ἐκεῖνα· μᾶλλον δὲ καὶ σώματι καὶ ψυχῇ τὰ ἐνταῦθα λεγόμενα διαφέρει. Διὰ τοῦτο ταῦτα μὲν ἔστω προηγούμενα ἔργα, πάρεργα δὲ ἅπαντα τὰ ἄλλα. Ταῦτα μὲν γὰρ καὶ τῆς μελλούσης καὶ τῆς παρούσης ἐστὶ ζωῆς· ἐκεῖνα δὲ οὐδ' ἑτέρας, ἐὰν μὴ κατὰ τὸν ὑπὲρ τούτων τεθέντα διοικῆται νόμον. Οὐ γὰρ δὴ μόνον τί μετὰ ταῦτα ἐσόμεθα, καὶ πῶς τότε ζησόμεθα, ἐντεῦθεν ἔστι μαθεῖν μόνον, ἀλλὰ πῶς καὶ τὸν παρόντα οἰκονομήσομεν βίον. Ἰατρεῖον γὰρ ὁ οἶκος [c] οὗτος ἕστηκε πνευματικὸν, ἵνα ἅπερ ἂν λάβωμεν ἔξωθεν τραύματα, ἐντεῦθεν θεραπεύσωμεν· οὐχ ἵνα καὶ ἐντεῦθεν συλλέξαντες ἕτερα, οὕτως ἀπίωμεν. Ἂν γὰρ τοῦ Πνεύματος ἡμῖν τοῦ ἁγίου διαλεγομένου μὴ προσέχωμεν, οὐ μόνον [a] τὰ πρότερα οὐκ ἀπολουσόμεθα, ἀλλὰ καὶ ἕτερα προσληψόμεθα. Προσέχωμεν τοίνυν τῷ βιβλίῳ μετὰ πολλῆς τῆς σπουδῆς ἡμῖν ἀνακαλυπτομένῳ. Οὐδὲ γὰρ πολλῆς δεησόμεθα λοιπὸν πραγματείας, ἂν τὰς ἀρχὰς καὶ ὑποθέσεις μετὰ ἀκριβείας μάθωμεν· ἀλλὰ μικρὸν ἐν προοιμίοις πονέσαντες, δυνησόμεθα τοῦ λοιποῦ κατὰ τὸν Παῦλον καὶ ἄλλους νουθετεῖν. Σφόδρα γάρ ἐστιν ὑψηλὸς ὁ ἀπόστολος οὗτος, καὶ πολλῶν γέμει δογμάτων, καὶ τούτοις ἐνδιατρίβει μᾶλλον ἢ ἑτέροις. Μὴ δὴ παρέργως ἀκούωμεν. Διὰ τοῦτο γὰρ ἡμεῖς καὶ κατὰ μικρὸν ἐξηγούμεθα, ὥστε ὑμῖν εὔληπτα πάντα γενέσθαι καὶ μὴ διαφυγεῖν τὴν μνήμην. Φοβηθῶμεν τοίνυν μήποτε γενώμεθα τῆς φωνῆς ἐκείνης ὑπεύθυνοι τῆς λεγούσης· Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. Τί γὰρ ἕξομεν τῶν οὐκ ἀκηκοότων πλέον, ὅταν καὶ μετὰ τὴν ἀκρόασιν μηδὲν οἴκαδε ἀπέλθωμεν ἔχοντες, ἀλλὰ θαυμάζοντες τὰ εἰρημένα μόνον; Δότε τοίνυν ἡμῖν, εἰς ἀγαθὴν σπεῖραι γῆν· δότε, ἵνα ἡμᾶς ἐπισπάσησθε μειζόνως. Καὶ εἴ τις ἀκάνθας ἔχει, τὸ πῦρ ἐπαφιέτω τοῦ Πνεύματος· εἴ τις σκληρὰν καὶ ἀντίτυπον καρδίαν, λιπαρὰν ποιείτω αὐτὴν καὶ ἁπαλὴν τῷ αὐτῷ [b] χρώμενος πυρί. Εἴ τις κατὰ τὰς ὁδοὺς ὑπὸ πάντων πατεῖται τῶν λογισμῶν, πρὸς τὰ ἐνδότερα εἰσίτω, καὶ μὴ προκείσθω τοῖς βουλομένοις εἰς ἁρπαγὴν ἐπιέναι, ἵνα κομῶντα ὑμῶν ἴδωμεν τὰ λήϊα. Καὶ γὰρ ἂν οὕτως ἑαυτῶν ἐπιμελώμεθα, καὶ μετὰ φιλοπονίας τῆς ἀκροάσεως ἐχώμεθα

externis illis dictis et gestis labefactare, melius esset ab ingressu prorsus abstinuisse. Nemo igitur in ecclesia res domesticas animo verset; sed domi res ecclesiæ cogitet. Hæc cæteris omnibus nobis sint pretiosiora. Hæc enim ad animam, illa ad corpus pertinent; imo quæ hic dicuntur et corpori et animæ competunt. Ideo hæc quasi præcipua tractentur, alia omnia perfunctorie. Hæc quippe et futuræ et præsentis vitæ sunt; illa ad neutram pertinent, nisi secundum legem de his positam tractentur. Non enim solum qui post hæc futuri simus, et E quomodo illic vivemus, hic ediscimus; sed etiam qua ratione hic nobis sit vivendum. Nam medicamentorum officina spiritualis domus hæc est; ut quæ vulnera foris accipimus, hic curemus; non autem ut hic aliis acceptis vulneribus recedamus. Nam si Spiritui sancto nos alloquenti non animum adhibeamus, non modo priora peccata non 15 A abluemus, sed etiam alia admittemus. Huic igitur libro nobis per revelationem tradito magna cum diligentia attendamus. Non enim multo postea studio egebimus, si principia et argumenta didicerimus : sed si tantillum initio laboris susceperimus, alios deinde secundum Paulum monere poterimus. Hic namque apostolus admodum sublimis est, multisque plenus dogmatibus, in quibus magis versatur, quam in aliis. Ne, quæso, perfunctorie audiamus. Ideo enim nos paulatim hæc explicamus, ut vobis captu facilia omnia sint, nec ex memoria effluant. Timeamus ergo, ne ex sententia illa culpandi simus, qua dicit : *Si non venissem* B *et loquutus fuissem eis, peccatum non haberent.* Quid plus habebimus, quam ii qui nihil audierunt, quando post concionem nihil domum referemus, sed verba tantum mirati fuerimus? Date nobis igitur, ut in bonam terram semen jaciamus : date, ut nos magis attrahatis. Et si quis spinas habeat, ignem Spiritus injiciat : si quis cor durum et contumax, eodem igne molle illud et tractabile reddat. Si quis per viam a turba cogitationum invadatur, interiora petat, nec attendat iis quæ ad rapiendum intrare vellent; ut comantes segetes vestras videamus. Nam si eam de nobis curam exhibeamus, et si magno studio spirituali concioni attendamus : si non confestim, saltem paulatim a sæ- C cularibus omnibus rebus nos expediemus. Ideo animum adhibeamus, ne de nobis dicatur : *Aspi-*

Liber Joannis quanta cum attentione legendus.

Joan. 15. 22.

Psal. 57. 5.

[b] ἔξω, quidam ἔξωθεν.

[c] Savil. οὗτός ἐστι, et paulo post ἐνταῦθα pro ἐντεῦθεν. [Paulo ante πῶς καὶ τὸν παρόντα Savil. Καὶ πῶς τ. π. Cod. 706. Articulus aberat a Montf.]

[a] Quidam habent τὰ πρότερον.

[b] Sic Savil. et omnes pene Mss. Morel. vero χρώμενον πάλιν πυρί. [Paulo ante καρδίαν om. Savil. et Cod. 706.]

dis surdæ aures eorum. Qua in re, quæso, a fera differt hujusmodi auditor? Quomodo non sit irrationabili quovis irrationabilior, qui Deo loquente non attendit? Nam si placere Deo, illud est homo esse: qui ut hoc adipiscatur, audire non vult, nihil aliud quam fera esse dicatur. Cogita ergo quantum sit malum, cum Christus nos velit ex hominibus angelis æquales facere, si nos ex hominibus in feras transmutemus. Nam ventri servire, pecuniarum cupiditate teneri, irasci, mordere, calcitrare, non hominum, sed ferarum est. Atqui feræ singulæ suum habent affectum, idque secundum naturam: at homo qui principium cogitationum, et vitam secundum Deum instituendam abjecit, omnibus sese animi morbis addicit; nec modo fera efficitur, sed et multiforme monstrum, neque secundum naturam veniam meretur. Nequitia quippe omnis ex arbitrio et voluntate est. Sed absit ut hoc unquam de Ecclesia Christi suspicemur: de vobis enim meliora, quæque ad salutem ducant, sentimus. Verum quanto magis hoc ita esse confidemus, tanto majorem cautelam in concionibus adhibere non cessabimus; ut postquam ad ipsum virtutum culmen pervenerimus, nobis promissa bona consequamur: quæ utinam adipiscamur, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, simulque Spiritui sancto in sæcula sæculorum. Amen.

Nequitia ex arbitrio et voluntate.

ταύτης τῆς πνευματικῆς, εἰ καὶ μὴ ἀθρόον, ἀλλὰ κατὰ μικρὸν πάντων γοῦν ἀπαλλαγησόμεθα τῶν βιωτικῶν. Διὸ προσέχωμεν, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, ὅτι Ἀσπίδος κωφῆς [c]τὰ ὦτα αὐτῶν. Τί θηρίου διενήνοχεν ὁ τοιοῦτος ἀκροατής; εἰπέ μοι. Πῶς δὲ οὐκ ἂν εἴη παντὸς ἀλογώτερος ἀλόγου, ὁ Θεοῦ διαλεγομένου μὴ προσέχων; Εἰ γὰρ τὸ [d]εὐαρεστεῖν τῷ Θεῷ, τοῦτό ἐστιν ἄνθρωπον εἶναι· ὁ μηδὲ, ὅπως τοῦτο κατορθώσειεν, ἀκοῦσαι θέλων, οὐδὲν ἕτερον ἢ θηρίον D ἐστίν. Ἐννόησον οὖν ὅσον ἂν εἴη κακὸν, τοῦ Χριστοῦ θέλοντος ἡμᾶς ἐξ ἀνθρώπων ἰσαγγέλους ποιεῖν, αὐτοὺς ἐξ ἀνθρώπων εἰς θηρία [e]μεταποιεῖν. Τὸ γὰρ τῇ γαστρὶ δουλεύειν, καὶ τῇ τῶν χρημάτων ἐπιθυμίᾳ κατέχεσθαι, καὶ ὀργίζεσθαι καὶ δάκνειν καὶ λακτίζειν, οὐκ ἀνθρώπων, ἀλλὰ θηρίων ἐστί. Καίτοι τὰ μὲν θηρία, ἓν ἕκαστον, ὡς εἰπεῖν, ἔχει πάθος, καὶ τοῦτο κατὰ φύσιν· ὁ δὲ ἄνθρωπος ὁ τῶν λογισμῶν τὴν ἀρχὴν ἐκβαλὼν καὶ τῆς κατὰ Θεὸν πολιτείας ἀποῤῥαγεὶς, πᾶσιν ἑαυτὸν ἐπιτρέπει τοῖς πάθεσι· καὶ οὐκ ἔτι θη-E ρίον γίνεται μόνον, ἀλλὰ τέρας πολύμορφόν τι καὶ ποικίλον, καὶ οὐδὲ τὴν ἀπὸ τῆς φύσεως συγγνώμην ἔχει. Προαιρέσεως γὰρ καὶ γνώμης ἡ κακία πᾶσα. Ἀλλὰ μὴ γένοιτό ποτε ταῦτα περὶ τῆς Ἐκκλησίας ὑποπτεῦσαι τοῦ Χριστοῦ· πεπείσμεθα γὰρ περὶ ὑμῶν 16 A τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας. Ἀλλ' ὅσῳ πεπείσμεθα, τοσούτῳ τῶν προφυλακτικῶν [a]οὐδὲν ἧττον ἀποστησόμεθα λόγων· ἵνα πρὸς αὐτὴν ἀνελθόντες τὴν κορυφὴν τῶν ἀρετῶν, τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

c Savil. et quidam Mss. τὰ ὦτα ἡμῶν. Morel. et alii τὰ ὦτα αὐτῶν. [Mox Savil. et Cod. cit. τί γάρ.]

d Quidam εὐχαριστεῖν.

e Savil. et quidam Mss. μεταπεσεῖν, Morel. et alii μεταποιεῖν.

a Savil. οὐδὲν ἧττον: *Alterutrum* παρέλκει *et delendum: ambo mihi stare non posse videntur: nam* οὐδὲν ἧττον *simul juncta, affirmantis sunt: quod hic non quadrat.* Mihi secus videtur et locum bene habere puto. Clara sunt omnia, etsi ad Latinum usum non satis accommodata.

HOMILIA III.

In principio erat Verbum.

1. Supervacaneum jam esset vos de attentione concioni adhibenda monere; tam cito nempe admonitionis fructum re et opere exhibuistis. Concursus enim, diligens attentio, præpropera cum impulsu festinatio ad interiorem occupandum locum, unde facilius vocem nostram audire pos-

ΟΜΙΛΙΑ γ'.

Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

E Προσοχῆς μὲν ἕνεκεν τῆς περὶ τὴν ἀκρόασιν, περιττὸν λοιπὸν ὑμῖν παραινεῖν· οὕτω ταχέως τὴν παραίνεσιν ἐπὶ τῶν ἔργων ἐδείξατε. Ἥ τε γὰρ συνδρομὴ, τό τε ἀτενὲς τῆς στάσεως, καὶ τὸ συνωθοῦντας ἀλλήλους τὸν ἐνδοτέρω τόπον ἐπείγεσθαι καταλαβεῖν, καὶ ὅθεν ἂν εὐσημοτέρα γένοιτο ὑμῖν ἡ παρ'

ἡμῶν φωνή, καὶ τὸ πιεζομένους μὴ θέλειν ἀναχωρεῖν, ἕως ἂν τὸ πνευματικὸν τοῦτο διαλυθῇ θέατρον, καὶ οἱ κρότοι, καὶ οἱ θόρυβοι, καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα, [b]τεκμήριον τῆς ἐν τῇ ψυχῇ θερμότητος ἂν εἴη καὶ τῆς φιληκοΐας ὑμῶν. Διὸ καὶ περιττὸν περὶ τούτου παρεγγυᾷν· ἐκεῖνο μέντοι εἰπεῖν καὶ παρακαλέσαι ἀναγ- C καῖον ἡμῖν, ὥστε μεῖναι ταύτην ἔχοντας τὴν σπουδήν· καὶ μὴ μόνον ἐνταῦθα αὐτὴν ἐπιδείκνυσθαι, ἀλλὰ καὶ οἴκοι γενομένους, τὸν ἄνδρα πρὸς τὴν γυναῖκα, τὸν πατέρα πρὸς τὸν παῖδα περὶ τούτων διαλέγεσθαι· καὶ λέγειν μὲν τὰ παρ' ἑαυτοῦ, ἀπαιτεῖν δὲ τὰ παρ' ἐκείνων, καὶ τὸν καλὸν τοῦτον εἰσφέρειν ἅπαντας ἔρανον. Μὴ γάρ μοι λεγέτω τις, ὅτι τὰ παιδία πρὸς ταῦτα ἡμῖν ἀπησχολῆσθαι οὐ χρή· ἐχρῆν μὲν γὰρ οὐ μόνον ἀπησχολῆσθαι, ἀλλὰ καὶ ἐν τούτοις μόνοις ἔχειν τὴν σπουδήν. Πλὴν ἀλλὰ διὰ τὴν ἀσθένειαν ὑμῶν οὐ λέγω D τοῦτο, οὐδὲ αὐτὰ τῆς ἔξωθεν [c]ἀπάγω σχολῆς, ὥσπερ οὐδὲ ὑμᾶς τῶν πολιτικῶν ἀφέλκω πραγμάτων. Ἀλλ' ἀπὸ τῶν ἑπτὰ τούτων ἡμερῶν μίαν ἀξιῶ τῷ κοινῷ πάντων ἡμῶν ἀναθεῖναι Δεσπότῃ. Πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν οἰκέτας ἡμῖν κελεύειν ἅπαντα δουλεύειν τὸν χρόνον· ἡμᾶς δὲ μηδὲ τὴν ἐλάττω σχολὴν ἀπονέμειν τῷ Θεῷ, καὶ ταῦτα τῆς δουλείας ἁπάσης ἐκείνῳ μὲν οὐδὲν προστιθείσης (ἀνενδεὲς γὰρ τὸ Θεῖον), εἰς τὸ συμφέρον δὲ περιισταμένης ἡμῖν; [d]Ἀλλ' εἰς θέατρα μὲν αὐτοὺς ἄγοντες, οὔτε μαθήματα, οὔτε ἄλλο τι τῶν τοιούτων προβάλλεσθε· ἂν δέ τι τῶν πνευματικῶν κερ- E δᾶναι δέοι καὶ συναγαγεῖν, ἀσχολίαν τὸ πρᾶγμα ὀνομάζετε. Καὶ πῶς οὐ παροξυνεῖτε τὸν Θεόν, πᾶσι μὲν τοῖς ἄλλοις σχολάζοντες καὶ καιρὸν ἀπονέμοντες, τὸ δὲ τὰ αὐτοῦ μεταχειρίζειν, ὀχληρὸν καὶ οὐκ εὔκαιρον εἶναι νομίζοντες τοῖς παισίν; Μὴ ταῦτα, μή, ἀδελφοί. Καὶ γὰρ αὕτη μάλιστα ἡ ἡλικία τούτων δεῖται τῶν 17 ἀκουσμάτων. Ἁπαλὴ γὰρ οὖσα, ταχέως ἐναποτίθεται A τὰ λεγόμενα, [a]καθάπερ τινὸς σφραγῖδος τῆς ἀκροάσεως ἐν κηρῷ τῇ διανοίᾳ τῇ τούτων ἐντυπουμένης. Ἄλλως τε καὶ ὁ βίος αὐτοῖς τότε ἀρχὴν ἔχει πρὸς κακίαν ἀποκλῖναι ἢ ἀρετήν. Ἂν οὖν τις αὐτοὺς ἀπ' αὐτῶν τῶν ἀρχῶν καὶ τῶν προθύρων ἀπαγάγῃ μὲν τῆς πονηρίας, χειραγωγήσῃ δὲ πρὸς τὴν ἀρίστην ὁδόν, ὥσπερ εἰς ἕξιν τινὰ καὶ φύσιν αὐτοὺς καταστήσει λοιπόν· καὶ οὐδὲ ἑκόντες μεταβαλοῦνται ῥᾳδίως πρὸς τὸ χεῖρον, τῆς συνηθείας ταύτης ἑλκούσης αὐτοὺς πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν. Οὕτως ἡμῖν τῶν γεγηρακότων αἰδεσιμώτεροι γενήσονται, καὶ τοῖς πολιτικοῖς χρησιμώτεροι πράγμασιν, ἐν νεότητι τὰ τῶν πρεσβυτέρων ἐπιδεικνύμενοι. Οὐ γάρ ἐστιν, ὥσπερ ἔφθην εἰ- B

sitis; perseverantia, qua vel in angustia positi recedere non vultis, donec spirituale theatrum solutum fuerit; plausus strepitus, cæteraque similia, et fervorem animi et intentam concioni mentem indicant. Quapropter superfluum esset hac de re monere; sed illud dicere et monere operæ pretium fuerit, ut hoc animo esse perseveretis: nec modo hic idem studium exhibeatis, sed etiam domi vir uxorem, pater filium de his alloquantur; sua hi dicant, et paria ab illis exigant, omnesque hoc mutuum pignus in medium afferant. Ne quis mihi dixerit, pueros in hoc occupari non oportere: opus esset enim non modo his incumbere, sed hanc solam habere curam. Attamen infirmitatis vestræ causa id non dico, neque pueros ab externo illo studio avoco; ut neque vos a civilibus negotiis. Verum ex septem his diebus unum rogo communi Domino nostro consecretis. Annon absurdum fuerit, si cum servos nostros obsequia sua nobis semper præstare jubeamus, nos ne minimum quidem otii nostri Deo addicamus; præsertim cum hæc servitus Deo nihil conferat (Deus enim nulla re eget), sed ad nostram redundet utilitatem? Verum cum ad theatra filios adducitis, neque disciplinas, neque aliud quidpiam obtenditis; si vero quidpiam spiritualis lucri sit colligendum, vacationem illud esse dicitis. Et quomodo iram Dei non provocabitis, dum cæteris omnibus suo tempore operam dantes, divinis operam dare, molestum et oportunum filiis existimatis? Ne ita, ne ita, fratres mei, agatis. Etenim hæc maxime ætas ista eget disciplina: tenera enim cum sit, cito illa quæ dicuntur, imbibit, doctrinaque ibi ceu sigillum in cera imprimitur. Alioquin autem hac primæva ætate vel ad vitium vel ad virtutem declinatur. Si quis igitur a principio et quasi a vestibulo illos a vitiis abduxerit, et ad optimam viam direxerit, ceu in quemdam habitum et rectam vitæ rationem eos constituet: neque sponte sua facile ad malum declinabunt, consuetudine illos ad bona opera trahente. Ita nobis vel ipsis senibus venerabiliores erunt, et urbanis negotiis gerendis aptiores, dum in juventute senilem ætatem exprimient. Neque enim fieri potest, ut jam dixi, ut qui hujusmodi concione fruuntur, et tantum aposto-

Juvenes quomodo instituendi.

[b] Morel. et quidam Mss. τεκμήριον. Savil. et alii τεκμήρια.

[c] Alii ἀπάγω σπουδῆς.

[d] Alii νῦν δὲ εἰς θέατρα.

[a] Verborum ordinem sic restituendum putat Savilius: καθάπερ τινὸς σφραγῖδος ἐν κηρῷ, τῆς ἀκροάσεως τῇ διανοίᾳ. Sed puto hæc ut in omnibus exemplaribus jacent bene habere. Paulo post Savil. et Mss. plurimi ἀπ' αὐτῶν τῶν θυρῶν. Morel. ἀπ' αὐτῶν τῶν ἀρχῶν τῶν προθύρων. Unus ἀπ' αὐτῶν τῶν προθύρων ἀπαγάγῃ.

lum frequentant, non ingens quodpiam bonum secum referant; sive tandem vir, sive mulier, sive juvenis sit is qui hujus mensæ particeps efficitur. Nam si feras verbo domitas cicuramus, quanto magis homines hac spirituali doctrina ad frugem deducemus, cum inter medicinam et eum qui curatur tantum sit discrimen? Neque enim tanta nobis inest feritas, quanta belluis: nam hæc ex natura, illa ex arbitrio proficiscitur: neque verborum eadem vis est. Illa enim ex humana mente prodit, hæc ex Spiritus virtute et gratia. Si quis igitur de se desperet, mansuetas illas feras cogitet, et nunquam in desperationem incidet: sæpe hanc medicamentorum officinam adeat, divinas leges omni tempore audiat, et domum reversus, quæ audivit, in mente describat: sicque in bona spe et securitate constituetur, et experientia profectum sentiet. Cum enim diabolus legem Dei in anima descriptam videbit, et tabulas esse cor illius, non accedet ulterius. Ubi enim literæ regiæ, non in æreo cippo sculptæ, sed in religioso animo a Spiritu sancto efformatæ multa fulgent gratia, nec contra respicere ille poterit, sed procul nobis terga vertet. Nihil enim ita formidabile est et illi et cogitationibus ab illo immissis, ut mens quæ divina meditatur, et huic semper hæret fonti. Hanc nulla rerum præsentium turbabit, quantumvis molesta sit, nulla inflabit et extollet, quantumvis prospera fuerit: sed in tanta procella et tempestate, tranquillitate magna fruetur.

Mens quæ divina meditatur, diabolo formidabilis est.

2. Neque enim ex rerum natura turbamur, sed ex animi nostri infirmitate. Nam si ex rebus quæ accidunt turbaremur, omnes homines turbari necesse esset. Omnes enim idem navigamus pelagus, neque fieri potest, ut extra fluctus et tempestates versemur. Quod si quidam extra tempestatem et furibundum mare degant, palam est tempestatem non a negotiis oriri, sed a statu mentis nostræ. Si hanc igitur ita comparemus, ut omnia facile ferat, nulli fluctus, nulla tempestas, sed tranquillitas nobis semper aderit. Verum nescio quo pacto, cum nihil horum dicere in proposito haberem, in tantam admonitionem devenerim. Ignoscite, quæso, longitudinem. Etenim vereor, et admodum vereor, ut hoc studium meum

πῶν, τοιαύτης ἀπολαύοντας ἀκροάσεως, καὶ ἀποστόλῳ τοιούτῳ συγγινομένους, μὴ μέγα τι καὶ γενναῖον ἀγαθὸν λαβόντας ἀπελθεῖν, κἂν ἀνὴρ, κἂν γυνὴ, κἂν νέος ὁ ταύτης μετέχων τῆς τραπέζης ᾖ. Εἰ γὰρ τὰ θηρία [b] τὰ παρ' ἡμῖν λόγῳ ῥυθμίζοντες ἡμεροῦμεν, πόσῳ μᾶλλον τῇ πνευματικῇ ταύτῃ διδασκαλίᾳ τοὺς ἄνδρας τοῦτο ἐργασόμεθα, ὅταν καὶ τοῦ φαρμάκου καὶ τοῦ θεραπευομένου πολὺ τὸ μέσον ᾖ; Οὔτε γὰρ ἡ ἐν ἡμῖν ἀγριότης τοσαύτη, ὅση ἡ ἐν ἐκείνοις· ἡ μὲν γὰρ φύσεως, ἡ δὲ προαιρέσεώς ἐστιν· οὔτε τῶν λόγων ἡ ἰσχὺς C ἡ αὐτή. Ἐκείνη μὲν γὰρ ἀνθρωπίνης ἐστὶ διανοίας, αὕτη δὲ τῆς τοῦ Πνεύματος δυνάμεως καὶ τῆς χάριτος. Ὁ τοίνυν ἀπογινώσκων ἑαυτοῦ, τὰ θηρία ἐννοείτω τὰ ἥμερα, καὶ οὐδέποτε τοῦτο πείσεται· συνεχῶς παρὰ τοῦτο ἴτω τὸ ἰατρεῖον, τῶν τοῦ Πνεύματος ἀκουέτω νόμων διὰ παντὸς τοῦ καιροῦ, καὶ οἴκαδε ἀπελθὼν ἀπογραφέτω τὰ ἀκουσθέντα τῇ διανοίᾳ· καὶ οὕτως ἔσται ἐν ἐλπίσι χρησταῖς καὶ ἀσφαλείᾳ πολλῇ, τῇ πείρᾳ τῆς προκοπῆς αἰσθανόμενος. Ὅταν γὰρ ὁ διάβολος ἴδῃ τοῦ Θεοῦ τὸν νόμον ἐγγραφέντα τῇ ψυχῇ, καὶ πλάκας αὐτοῦ γενομένην τὴν καρδίαν, οὐ προσελεύσεται λοιπόν. Ἔνθα γὰρ ἂν ᾖ γράμματα βασιλικὰ, οὐκ ἐν στήλῃ χαραγέντα χαλκῇ, ἀλλ' ἐπὶ D θεοφιλοῦς διανοίας ἁγίῳ Πνεύματι τυπωθέντα, καὶ πολλῆς ἀποστίλβοντα τῆς χάριτος, οὐδὲ ἀντιβλέψαι ἐκεῖνος δυνήσεται, ἀλλὰ πόῤῥωθεν ἡμῖν δώσει τὰ νῶτα. Οὐδὲν γὰρ οὕτω φοβερὸν ἐκείνῳ καὶ τοῖς παρ' ἐκείνου [c] ὑποτιθεμένοις λογισμοῖς, ὡς διάνοια τὰ θεῖα μελετῶσα, καὶ ψυχὴ ταύτῃ διαπαντὸς ἐγκειμένη τῇ πηγῇ. Τὴν γὰρ τοιαύτην οὐ λυπῆσαί τι τῶν παρόντων δυνήσεται, κἂν ἀηδὲς ᾖ, οὐ φυσῆσαι καὶ ἐπᾶραι, [d] κἂν αἴσιον ᾖ· ἀλλ' ἐν τοσούτῳ χειμῶνι καὶ ζάλῃ γαλήνης ἀπολαύσεται πολλῆς.

E Οὐ γὰρ παρὰ τὴν τῶν πραγμάτων φύσιν ὁ θόρυβος ἡμῖν ἐγγίνεται, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς διανοίας τῆς ἡμετέρας. Ἐπεὶ εἰ παρὰ τὰ συμβαίνοντα τοῦτο ἐπάσχομεν, πάντας ἀνθρώπους ταράττεσθαι ἔδει. Πάντες γὰρ τὴν αὐτὴν πλέομεν θάλατταν, καὶ κυμάτων καὶ ἅλμης ἐκτὸς εἶναι ἀμήχανον. Εἰ δέ εἰσιν, οἳ τοῦ 18 A χειμῶνος ἑστήκασιν ἔξω καὶ τῆς θαλάττης μαινομένης, εὔδηλον ὅτι τὸν χειμῶνα οὐ τὰ πράγματα ποιεῖ, ἀλλ' ἡ κατάστασις τῆς διανοίας τῆς ἡμετέρας. Ἂν οὖν αὐτὴν κατασκευάσωμεν οὕτως, ὡς πάντα φέρειν εὐκόλως, οὐκ ἔσται χειμὼν ἡμῖν, οὐδὲ κλυδώνιον, λευκῆς ἀεὶ τῆς γαλήνης οὔσης. Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς προθέμενος μηδὲν ὑπὲρ τούτων εἰπεῖν, εἰς τοσοῦτον ταύτης ἐξηνέχθην τῆς παραινέσεως. Σύγγνωτε οὖν τῆς μακρηγορίας ἡμῖν. Καὶ γὰρ δέδοικα, καὶ σφόδρα δέ-

[b] Alii τῷ παρ' ἡμῖν λόγῳ.

[c] ὑποτιθεμένοις deest in Mss. plurimis, et a Savilio in margine positum fuit.

[d] Morel. κἂν ἐξαίσιον ᾖ. Sed Savil. et omnes pene Mss. κἂν αἴσιον ᾖ.

οικα, μήποτε ἀσθενεστέρα [a]ἡμῖν αὕτη γένηται ἡ σπουδή· ὡς εἴ γε ἐθάῤῥουν ὑπὲρ αὐτῆς, οὐδὲν ἂν διελέχθην τούτων ὑμῖν νῦν· ἱκανὴ γὰρ αὕτη πάντα ὑμῖν B ἐξευμαρίσαι τὰ πράγματα. Ὥρα δὲ λοιπὸν ἐπὶ τὰ προκείμενα τήμερον ἰέναι, ὥστε μὴ κεκμηκότας ὑμᾶς προσβάλλειν τοῖς ἀγῶσιν. Ἀγῶνες γὰρ ἡμῖν πρόκεινται πρὸς τοὺς τῆς ἀληθείας ἐχθροὺς, πρὸς τοὺς πάντα μηχανωμένους, ὥστε καθελεῖν τὴν δόξαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, μᾶλλον δὲ τὴν ἑαυτῶν. Ἡ μὲν γὰρ μένει διαπαντὸς, οἵαπέρ ἐστιν, οὐδὲν παρὰ τῆς βλασφήμου γλώττης ἐλαττουμένη· ἐκεῖνοι δὲ, ὃν φασι προσκυνεῖν, καθελεῖν σπουδάζοντες, τὰ πρόσωπα αὐτῶν ἀτιμίας πληροῦσι καὶ κολάσεως τὴν ψυχήν. Τίνα οὖν ἐστιν ἃ φασιν, ἡμῶν ταῦτα λεγόντων, ἐκεῖνοι; Ὅτι τὸ, Ἐν C ἀρχῇ ἦν ὁ Λόγος, οὐ τὸ ἀΐδιον δείκνυσιν * ἁπλῶς· καὶ γὰρ καὶ περὶ οὐρανοῦ τοῦτο καὶ περὶ γῆς ἐλέχθη. Ὢ τῆς ἀναισχυντίας καὶ τῆς ἀνευλαβείας τῆς πολλῆς. Περὶ Θεοῦ σοι διαλέγομαι, καὶ σύ μοι τὴν γῆν φέρεις εἰς μέσον, καὶ τοὺς ἀπὸ τῆς γῆς ἀνθρώπους; [b]Οὐκοῦν ἐπειδὴ Υἱὸς Θεοῦ ὁ Χριστὸς λέγεται καὶ Θεὸς, καὶ ὁ ἄνθρωπος Υἱὸς Θεοῦ λέγεται καὶ θεός (Ἐγὼ γὰρ εἶπα, θεοί ἐστε, φησὶ, καὶ υἱοὶ Ὑψίστου πάντες), φιλονεικήσεις τῷ Μονογενεῖ τῆς υἱότητος, καὶ οὐδὲν φήσεις αὐτὸν ἔχειν κατὰ τοῦτό σου πλέον; Οὐδαμῶς, φησί. Καὶ μὴν τοῦτο ποιεῖς, κἂν μὴ τῷ λόγῳ λέγῃς. [c]Πῶς; Ὅτι καὶ σὺ χάριτι φὴς τῆς υἱοθεσίας μετειληφέναι καὶ αὐτὸν οὕτω· τῷ γὰρ μὴ φύσει D λέγειν αὐτὸν υἱὸν οὐδὲν ἕτερον ἢ χάριτι εἶναι τοῦτο κατασκευάζεις. Πλὴν ἀλλ' ἴδωμεν καὶ τὰς μαρτυρίας, ἃς παράγουσιν ἡμῖν. Ἐν ἀρχῇ, φησὶν, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. Καὶ, Ἦν ἄνθρωπος ἐξ Ἀρμαθαὶμ Σιφᾶ. Ταῦτά ἐστιν ἃ νομίζουσιν εἶναι ἰσχυρά. Καὶ ἔστιν ἰσχυρά· ἀλλ' εἰς τὸ δεῖξαι τὴν παρ' ἡμῶν λεγομένην ὀρθότητα τῶν δογμάτων· πρὸς δὲ τὸ στῆσαι τὴν βλασφημίαν αὐτῶν ἀσθενέστερά πως ἁπάντων. Τί γὰρ, εἰπέ μοι, κοινὸν ἔχει πρὸς τὸ, Ἐποίησε, τὸ, Ἦν; τί δὲ ὁ Θεὸς πρὸς τὸν ἄνθρωπον; Τί τὰ E ἄμικτα μιγνύεις, καὶ συγχεῖς τὰ διαιρούμενα, καὶ τὰ ἄνω τὰ κάτω ποιεῖς; Ἐνταῦθα γὰρ τὸ, Ἦν, οὐ δείκνυσι τὸ ἀΐδιον μόνον, ἀλλὰ καὶ τὸ, Ἐν ἀρχῇ ἦν, καὶ τὸ, Ὁ Λόγος ἦν. Ὥσπερ οὖν τὸ, ὢν, ὅταν μὲν περὶ ἀνθρώπου λέγηται, τὸν ἐνεστῶτα χρόνον δηλοῖ μόνον· 19 ὅταν δὲ [a]περὶ Θεοῦ, τὸ ἀΐδιον δείκνυσιν· οὕτω καὶ A τὸ, Ἦν, περὶ μὲν τῆς ἡμετέρας λεγόμενον φύσεως, τὸν παρελθόντα σημαίνει χρόνον ἡμῖν, καὶ αὐτὸν τοῦτον πεπερατωμένον· ὅταν δὲ περὶ Θεοῦ, τὸ ἀΐδιον

felicem exitum habeat; nam si fisus essem, neutiquam vos his de rebus alloquutus essem. Satis B certe sunt quæ diximus, ut omnia vobis facilia reddantur. Tempus autem est ut ad rem propositam veniamus, ne vos defessi hæc certamina adeatis. Certamina quippe nobis prostant contra veritatis hostes, contra eos qui nihil non agunt, ut Filii Dei gloriam, imo potius suam dejiciant. Illa quippe semper manet ut est, nihil per maledicam linguam imminuta: illi vero, dum eum, quem se adorare dicunt, prosternere student, vultum suum infamia replent, et animam supplicio addicunt. Quænam ergo dicunt illi, dum nos hæc proferi- C mus? Illud, *In principio erat Verbum*, non æternitatem simpliciter indicare: nam hoc de cælo etiam et de terra dictum fuit. O impudentiam et impietatem ingentem! De Deo te alloquor, et tu mihi terram et homines terra ortos affers in medium? Ergo quia Christus Filius Dei dicitur et Deus, et homo similiter filius Dei et deus prædicatur (nam *Ego dixi*, inquit, *dii estis, et filii Excelsi omnes*), cum Unigenito contendes de filiatione, et dices ipsum nihil plus habere, quam tu habeas? Nequaquam, ait. Atqui illud ipsum agis, etsi non dicas. Quomodo? Quia dicis, te per gratiam adoptionem percepisse, ipsumque D similiter: cum autem dicis ipsum non natura filium esse, nihil aliud probas, quam per gratiam filium esse. Cæterum videamus ea, quæ nobis afferunt testimonia: *In principio fecit Deus cælum et terram. Terra autem erat invisibilis et incomposita.* Et, *Erat homo ex Armathaim Sipha.* Hæc ipsis firma videntur. Et vere firma sunt, sed ad demonstrandam doctrinæ nostræ veritatem: nam ad illorum blasphemiam comprobandam omnium debilissima sunt. Quid enim, quæso, commune habet illud, *Fecit*, cum illo, E *Erat*? quid Deus cum homine? Cur ea misces quæ misceri non possunt? cur confundis ea quæ divisa sunt, et quæ sursum, deorsum ponis? Hic enim illud, *Erat*, non æternitatem ostendit, si solum spectetur; sed si addatur cum illis, *In* 19 *principio erat*, et, *Verbum erat*. Quemadmo- A dum ergo illud, Esse, cum de homine dicitur, præsens tantum indicat tempus; cum autem de Deo, æternitatem demonstrat: sic et illud, *Erat*, de nostra dictum natura, præteritum tempus si-

Hæreticorum de Verbo sententia.

Psal. 81.6.

Gen. 1.1.2.

1 Reg. 1.1.

[a] ἡμῖν. Savil. suspicatur legendum ὑμῖν, sed omnia exemplaria ἡμῖν habent.

* [Pro ἁπλῶς alii φησί.]

[b] Hæc brevius efferri posse suspicantur Savil. et Boisius; sed locus, ni fallor, bene habet.

[c] Alii πῶς; ὅταν γὰρ καί. Mox alii μὴ φύσει εἶναι αὐτόν.

[a] Sic Savil. et omnes pene Mss. Morel. περὶ Θεοῦ, τὸν ἀεὶ καὶ διαπαντός· οὕτω.

gnificat, ipsumque finitum; cum autem de Deo, æternitatem indicat. Satis ergo erat ei, qui audiret Terram, et Hominem, nihil amplius de illis cogitare, quam naturæ creatæ conveniat. Nam quod factum est, quidquid tandem sit, in tempore vel sæculo factum est: at Filius Dei, non temporibus tantum, sed sæculis omnibus superior est: nam illorum et creator et opifex est: dicitur enim,
Hebr. 1. 2. *Per quem fecit et sæcula.* Qui autem opifex est, ante opificia haud dubie fuit. Quoniam vero quidam ita insensati sunt, ut postea majus quidpiam de sua dignitate suspicentur, illo verbo, *Fecit*, et illo, *Homo erat*, auditoris mentem præoccupat, et omnem impudentiam exscindit. Nam quæ facta sunt omnia, cælum, terra, tempore facta sunt, temporale principium habent, eorumque nihil sine principio est, quia facta sunt. Itaque cum audis ipsum fecisse terram, et hominem esse, superflue nugaris, et inutilia effutis. Ego enim aliam hyperbolen afferre possum. Quænam illa est? Si de terra dictum esset, In principio terra erat; et de homine, In principio erat homo, neque ita quid majus de illis suspicandum fore, quam illa quæ nunc cognoscimus. Nam præmissa terræ et hominis appellatione, quidquid de illis dicatur, non potest animus majus quidpiam de illis imaginari, quam ea quæ scimus: ut contra, Verbum, etiamsi tenue quidpiam de illo dictum fuerit, non permittit tamen aliquid abjectum et vile de se existimari. Enimvero de terra sic postea
Gen. 1. 1. dicitur: *Terra autem erat invisibilis et incomposita.* Cum dixisset enim ipsum fecisse terram, et ipsi proprium terminum posuisset, secure jam quæ sequuntur enarrat; gnarus neminem ita stultum esse, ut illam sine principio et non factam esse suspicetur. Terræ quippe nomen, et illud, *Fecit*, satis sunt ut vel admodum stulto suadeant, ipsam nec æternam, nec non factam esse, sed ex eorum numero quæ in tempore condita sunt.

[b] ἐμφαίνει. Ἤρκει μὲν οὖν ἀκούσαντα γῆν, καὶ ἀκούσαντα ἄνθρωπον, μηδὲν πλέον ὑποπτεῦσαι περὶ αὐτῶν, ὧν [c] τῇ φύσει τῇ γεννητῇ προσῆκε νοεῖν. Τὸ γὰρ γενόμενον, ὅτι ἂν ᾖ, χρόνῳ ἢ αἰῶνι γέγονεν· ὁ δὲ Υἱὸς τοῦ Θεοῦ οὐ χρόνων μόνον, ἀλλὰ καὶ αἰώνων πάντων ἀνώτερος. Δημιουργὸς γὰρ αὐτῶν ἐστι καὶ ποιητής· Δι' οὗ γὰρ, φησὶ, καὶ τοὺς αἰῶνας ἐποίησεν. Ὁ δὲ ποιητὴς πρὸ τῶν ποιημάτων πάντως ἐστίν. Ἐπειδὴ δὲ οὕτως ἀναίσθητοί τινες εἰσὶν, ὡς καὶ μετὰ ταῦτα μεῖζόν τι [d] περὶ αὐτῶν τῆς ἀξίας ὑπονοεῖν, τῷ, Ἐποίησε, ῥήματι, καὶ
B τῷ, Ἄνθρωπος ἦν, προκαταλαμβάνει τὴν διάνοιαν τοῦ ἀκροατοῦ, καὶ πᾶσαν ἀναισχυντίαν ἐκκόπτει. Πᾶν γὰρ τὸ ποιηθὲν, καὶ οὐρανὸς καὶ γῆ, χρόνῳ πεποίηται, καὶ ἀρχὴν ἔχει χρονικὴν, καὶ ἄναρχον τούτων οὐδὲν, ἐπειδὴ γέγονεν. Ὥστε ὅταν ἀκούσῃς, ὅτι Ἐποίησε τὴν γῆν, καὶ ὅτι Ἄνθρωπος ἦν, [e] περιττὰ λοιπὸν φλυαρεῖς, ἀνόνητόν τινα ἐλίττων λῆρον. Ἐγὼ γὰρ καὶ ἑτέραν ὑπερβολὴν εἴποιμι ἄν. Ποίαν δὴ ταύτην; Ὅτι εἰ καὶ περὶ τῆς γῆς εἴρητο τὸ, ἐν ἀρχῇ ἦν ἡ γῆ, καὶ περὶ τοῦ ἀνθρώπου, ὅτι ἐν ἀρχῇ ἦν ὁ ἄνθρωπος, οὐδὲ οὕτως ὑποπτεῦσαί τι μεῖζον περὶ αὐτῶν τῶν νῦν [f] ἐγνωσμέ-
C νων ἐχρῆν ἡμῖν. Ἡ γὰρ τῆς γῆς καὶ τοῦ ἀνθρώπου προσηγορία προλαβοῦσα, ὅσα ἂν περὶ αὐτῶν λέγηται, οὐκ ἀφίησι τὴν διάνοιαν μεῖζόν τι φαντασθῆναι περὶ αὐτῶν, ὧν νῦν ἴσμεν· [g] ὥσπερ οὐδὲ ὁ Λόγος, κἂν μικρόν τι περὶ αὐτοῦ λεχθῇ, οὐκ ἀφίησι ταπεινὸν ἐννοῆσαί τι καὶ εὐτελές. Ἐπεὶ καὶ προϊὼν φησι περὶ τῆς γῆς· Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. Εἰπὼν γὰρ, ὅτι ἐποίησεν αὐτὴν, καὶ θεὶς * αὐτῇ τὸν οἰκεῖον ὅρον, ἀδεῶς λοιπὸν τὰ ἑξῆς φθέγγεται, εἰδὼς ὅτι
D οὐδεὶς οὕτως ἀνόητός ἐστιν, ὡς ἄναρχον αὐτὴν καὶ ἀγένητον ὑποπτεῦσαι. Τὸ γὰρ τῆς γῆς ὄνομα καὶ τὸ, Ἐποίησεν, ἱκανὰ καὶ τὸν σφόδρα ἠλίθιον πεῖσαι, ὅτι οὐκ ἀΐδιος οὐδὲ ἀγένητος, ἀλλὰ τῶν ἐν χρόνῳ γενομένων ἐστί.

3. Præterea autem illud, *Erat*, de terra et de homine dictum, non simpliciter exsistentiam significat; sed de homine dictum, indicat ipsum ex tali esse loco; de terra autem, illam tali esse modo. Neque enim simpliciter dixit, Terra erat, et postea tacuit; sed qualis post creationem esset

Χωρὶς δὲ τούτων τὸ, Ἦν, ἐπὶ μὲν τῆς γῆς [h] καὶ τοῦ ἀνθρώπου, οὐ τοῦ εἶναι ἁπλῶς ἐστι σημαντικόν· ἀλλ' ἐπὶ μὲν τοῦ ἀνθρώπου, τοῦ ἀπὸ τοῦδε τοῦ χωρίου εἶ-
E ναι· ἐπὶ δὲ τῆς γῆς, τοῦ πῶς εἶναι. Οὐδὲ γὰρ εἶπεν, ἡ δὲ γῆ ἦν, ἁπλῶς, καὶ ἐσίγησεν· ἀλλὰ πῶς ἦν καὶ μετὰ τὸ γενέσθαι ἐδίδαξεν, οἷον, ὅτι Ἀόρατος καὶ ἀκατα-

b Morel. post ἀΐδιον addit ὁμοίως, sed deest in Savil. et Mss. plurimis.

c Morel. τῇ φύσει τῇ γεννητῇ. Savil. τῶν τῇ φύσει τοῖς γεννητοῖς προσηκόντων.

d Suspicatur Savilius legendum hic esse περὶ ἑαυτῶν.

e Morel. περιττὰ μὴ φλυαρεῖς (l. φλυάρει) ἀνόητόν τινα ἀνελίττων λῆρον. Savil. et alii, ut supra.

f ἐγνωσμένων, alii ἐγκειμένων.

g Morel. ὥσπερ οὐδέ. Savil. ὥσπερ οὖν. Utraque lectio quadrat. Paulo post Savil. et Boisius legendum suspicantur ἔτι καὶ προϊών. Sed locus bene habet.

* [αὐτῆς Savil. et Cod. 706.]

h Aliqui καὶ τοῦ οὐρανοῦ.

σκεύαστος, ἔτι τοῖς ὕδασι κρυπτομένη καὶ φυρομένη. Καὶ ἐπὶ τοῦ Ἐλκανᾶ οὐκ εἶπεν, ὅτι ἦν ἄνθρωπος, μόνον, ἀλλὰ προσέθηκε καὶ [i] πόθεν ἦν δηλῶν, τὸ Ἐξ 20
Ἀρμαθαὶμ Σιφᾶ. Ἐπὶ δὲ τοῦ Λόγου οὐχ οὕτω. Καὶ A
αἰσχύνομαι μὲν ταῦτα τούτοις ἀντεξετάζων. Εἰ γὰρ τοῖς ἐπ' ἀνθρώπων αὐτὸ ποιοῦσιν ἐπιτιμῶμεν, ὅταν πολὺ τὸ μέσον τῆς ἀρετῆς τῶν ἐξεταζομένων ᾖ, καίτοι γε τῆς οὐσίας μιᾶς οὔσης· ὅταν καὶ τῆς φύσεως καὶ τῶν ἄλλων ἁπάντων οὕτως ἄπειρον ᾖ τὸ μέσον, πῶς οὐκ ἐσχάτης μανίας τὸ τὰ τοιαῦτα κινεῖν; Ἀλλ' ἵλεως ἡμῖν αὐτὸς ὁ βλασφημούμενος παρ' ἐκείνων εἴη. Τὴν γὰρ τῶν τοιούτων λόγων ἀνάγκην οὐχ ἡμεῖς ἐφευρήκαμεν, ἀλλ' οἱ τῇ ἑαυτῶν πολεμοῦντες σωτηρίᾳ ἡμῖν παρέσχον. Τί οὖν φημι; Ὅτι τοῦτο τὸ, Ἦν, ἐπὶ τοῦ Λόγου, τοῦ εἶναι ἀϊδίως μόνον ἐστὶ δηλωτικόν· Ἐν
ἀρχῇ γὰρ ἦν, φησὶν, ὁ Λόγος· τὸ δεύτερον δὲ ἦν, τοῦ B
πρός τινα εἶναι. Ἐπειδὴ γὰρ μάλιστα τοῦ Θεοῦ τοῦτό ἐστιν ἴδιον, τὸ ἀΐδιον καὶ ἄναρχον, τοῦτο πρῶτον τέθεικεν. Εἶτα, ἵνα μή τις ἀκούων τὸ, Ἦν ἐν ἀρχῇ, καὶ ἀγέννητον αὐτὸν εἴπῃ, εὐθέως αὐτὸ παρεμυθήσατο, πρὸ τοῦ εἰπεῖν τί ἦν, εἰπὼν ὅτι Πρὸς τὸν Θεὸν ἦν. Καὶ ἵνα μὴ Λόγον [a] αὐτὸν ἁπλῶς νομίσῃ τις εἶναι προφορικὸν ἢ ἐνδιάθετον, τῇ τοῦ ἄρθρου προσθήκῃ, καθάπερ ἔφθην εἰπὼν, καὶ διὰ τῆς δευτέρας ταύτης τοῦτο ἀνεῖλε ῥήσεως. Οὐ γὰρ εἶπεν, ἐν Θεῷ ἦν, ἀλλὰ, Πρὸς τὸν Θεὸν ἦν, τὴν καθ' ὑπόστασιν αὐτοῦ ἀϊδιότητα ἐμφαίνων ἡμῖν. Εἶτα καὶ σαφέστερον αὐτὸ προϊὼν ἀπεκάλυψεν, ἐπαγαγὼν,
ὅτι ὁ Λόγος οὗτος καὶ Θεὸς ἦν. Ἀλλὰ πεποιημένος, C
φησί. Τί οὖν ἐκώλυε τοῦτο εἰπεῖν, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Λόγον; Περὶ γοῦν τῆς γῆς διαλεγόμενος ὁ Μωϋσῆς, οὐκ εἶπεν, ἐν ἀρχῇ ἦν ἡ γῆ, ἀλλ' ὅτι Ἐποίησεν αὐτὴν, καὶ τότε ἦν. Τί τοίνυν ἐκώλυε καὶ τὸν Ἰωάννην οὕτως εἰπεῖν, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Λόγον; Εἰ γὰρ περὶ τῆς γῆς τοῦτο ἔδεισεν ὁ Μωϋσῆς, μή τις αὐτὴν ἀγένητον εἴπῃ· πολλῷ μᾶλλον περὶ τοῦ Υἱοῦ φοβηθῆναι ἐχρῆν τὸν Ἰωάννην, εἴ γε κτιστὸς ἦν. Ὁ μὲν γὰρ κόσμος, ὁρατὸς ὢν, αὐτόθεν κηρύτ-
τει τὸν ποιητήν (Οἱ οὐρανοὶ γὰρ, φησὶ, διηγοῦνται D
δόξαν τοῦ Θεοῦ)· ὁ δὲ Υἱὸς ἀόρατός ἐστι, καὶ τὴν κτίσιν σφόδρα καὶ ἀπείρως [d] ὑπεραναβέβηκεν. Εἰ τοίνυν ἔνθα μηδὲ λόγου καὶ διδασκαλίας ἡμῖν ἔδει πρὸς τὸ μαθεῖν, ὅτι γενητὸς ὁ κόσμος ἐστὶν, ὅμως σαφῶς αὐτὸ καὶ πρὸ τῶν ἄλλων τίθησιν ὁ προφήτης· πολλῷ μᾶλλον περὶ τοῦ Υἱοῦ τοῦτο τὸν Ἰωάννην ἐχρῆν εἰπεῖν, εἴ γε κτισθεὶς ἦν. Ναὶ, φησίν· ἀλλ' ὁ Πέτρος

addidit, nempe, *Invisibilis erat et incomposita*, adhuc aquis operta et admixta. Et de Elcana non dixit solum quod esset homo, sed adjecit unde esset, *De Armathaim Sipha*. De Verbo autem non sic. Et me pudet profecto hæc simul indagare. Si enim reprehendimus eos qui circa homines hoc agunt, quando multum est inter eos qui comparantur virtutis discrimen, licet illi ex una eademque substantia sint: quando et circa naturam et circa alia infinitum est interstitium, quomodo non extremæ dementiæ fuerit has quæstiones movere? Sed nobis ille propitius sit, quem ipsi blasphemiis impetunt. Hujusmodi namque dictorum adhibendorum necessitatem non nos induximus, sed illi nobis obtulere, qui salutem impugnant suam. Quid ergo dico? Illud, *Erat*, de Verbo dictum, significare ipsum æternum esse: nam ait, *In principio erat Verbum;* consequens autem erat, ut apud aliquem esset. *Æternitas Filii probatur.* Cum enim maxime illud Dei sit proprium, ut sit æternus et sine principio, hoc primo posuit. Deinde, ne quis audiens illud, *In principio erat*, etiam ingenitum diceret, statim ipsi occurrit, antequam diceret quid erat, dicendo, *Erat apud Deum*. Et ne quis ipsum Verbum prolatitium aut internum esse putaret, per articulum præmissum, et per secundam additionem, hanc amovet suspicionem. Non enim dixit, In Deo erat, sed, *Apud Deum*, ejus nobis secundum hypostasin æternitatem declarans. Deinde illud clarius significavit adjiciens, Verbum istud fuisse Deum. Sed, inquies, factum. Quid ergo obfuit quin diceret, In principio fecit Deus Verbum? Nam cum de terra loqueretur Moyses, non dixit, In principio erat terra, sed, *Fecit* eam, et tunc fuit. *Gen. 1. 1.* Quid igitur prohibuit quominus Joannes ita diceret, In principio fecit Deus Verbum? Si enim ita dixit Moyses timens ne quis terram non factam diceret; multo magis de Filio metuere oportebat Joannem, si creatus fuisset. Mundus enim cum sit visibilis, hoc ipso Conditorem prædicat (nam *Cæli*, inquit, *enarrant gloriam Dei*): Filius *Psal. 18. 1.* autem invisibilis est, et creaturam infinito medio excedit. Si itaque ubi neque verbo neque doctrina opus erat, ut disceremus mundum esse factum, tamen clare illud et ante omnia ponit propheta;

[i] Savil. *πόθεν ἦν, ἐξ Ἀρμαθὲμ Σιφᾶ.*

[a] Aliqui *αὐτὸν ἀληθῶς νομίσῃ*. Ibidem *προφορικὸν ἢ ἐνδιάθετον*. *Προφορικὸν* Verbum dixit Theophilus Antiochenus, p. 104; *ἐνδιάθετον Λόγον* memorat Irenæus l. 2, c. 12; et subinde hæ voces ab hæreticis maxime frequentatæ, ideoque proscriptæ sunt. Erant qui dicerent Patrem ante mundi creationem habuisse Verbum *ἐνδιάθετον*, *internum*: et quando mundum creavit, protulisse Verbum suum, et tunc fuisse *προφορικὸν*, *prolatitium*. *Λόγον προφορικὸν καὶ ἐνδιάθετον*, prout in hominibus est, memorat Plutarchus, libro, quod Philosophus debeat maxime principes alloqui.

[b] Quidam *ἀναβέβηκεν*.

multo magis id de Filio Joannem dicere oportebat, si creatus fuisset. Etiam, dices : sed Petrus id clare dixit et perspicue. Ubinam et quando? Cum
Act. 2.36. Judæos alloquens diceret : *Ipsum Dominum et Christum Deus fecit*. Cur ergo id quod sequitur non adjecisti, *Hunc Jesum quem vos crucifixistis?* An ignoras ex dictis alia ad immortalem naturam, alia ad incarnationem pertinere? Si autem non ita se res habet, sed omnia de deitate accipias, Deum passibilem induces : si vero non passibilis, non factus utique est. Nam si ex divina et ineffabili natura sanguis effluxerit, et si vice carnis ipsa in cruce clavis transfixa et dissecta sit, ratione nixum est sophisma tuum. Quod si ne diabolus quidem ita blasphemaverit, cur inexpiabilem ignorantiam simulas, quali ne dæmones quidem umquam usi sunt? Præterea hæc, Dominus et Christus, non sunt substantiæ, sed dignitatis; alterum enim est potentiæ, alterum unctionis. Quid ergo dixeris de Filio Dei? Nam si creatus sit, ut vos dicitis, nullum hoc haberet locum. Non enim prius factus est, et tunc Deus ipsum ordinavit; neque abjectum habet principium, sed ex natura atque substantia. Interrogatus enim num
Joan. 18. 37. rex esset, *Ego in hoc natus sum*, inquit. Petrus autem quasi de quodam qui ordinatus sit loquitur : nam de œconomia, sive de humanitate ipsi sermo est.

τοῦτο εἶπε σαφῶς καὶ διαῤῥήδην. Ποῦ καὶ πότε; Ὅτε Ἰουδαίοις διαλεγόμενος ἔλεγεν, Ὅτι Κύριον αὐτὸν καὶ
E Χριστὸν ὁ Θεὸς ἐποίησε. Τί οὖν καὶ τὸ ἑξῆς οὐ προσέθηκας, ὅτι Τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε; Ἢ ἀγνοεῖς ὅτι τῶν λεγομένων τὰ μὲν τῆς ἀκηράτου φύσεως, τὰ δὲ τῆς οἰκονομίας ἐστίν; Εἰ δὲ μή ἐστιν,
21 ἀλλὰ πάντα ἁπλῶς ἐπὶ τῆς θεότητος ἐκδέξῃ, καὶ πα-
A θητὸν [a] εἰσάξεις τὸ Θεῖον· εἰ δὲ μὴ παθητὸν, οὐδὲ ποιητόν. Εἰ μὲν γὰρ ἐκ τῆς θείας αὐτῆς καὶ ἀῤῥήτου φύσεως τὸ αἷμα ἔῤῥευσε, καὶ ἀντὶ τῆς σαρκὸς αὐτὴ τοῖς κατὰ τὸν σταυρὸν ἥλοις διῃρεῖτο καὶ ἐτέμνετο, λόγον ἂν εἶχέ σου κατὰ τοῦτο τὸ σόφισμα. Εἰ δὲ τοῦτο οὐδ' ἂν αὐτὸς ὁ διάβολος βλασφημήσειε, τίνος ἕνεκεν αὐτὸς ἀγνοεῖν προσποιῇ ἀσύγγνωστον οὕτως ἄγνοιαν, καὶ ἣν οὐδ' ἂν οἱ δαίμονες [b] ὑπεκρίναντο; Ἄλλως τε τὸ Κύριος καὶ τὸ Χριστὸς, οὐκ ἔστιν οὐσίας, ἀλλ' ἀξιώματος. Τὸ μὲν γὰρ τῆς ἐξουσίας ἐστὶ, τὸ δὲ τοῦ χρισθῆναι. Τί οὖν ἂν εἴποις περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ; Εἰ γὰρ
B καὶ κτιστὸς ἦν καθ' ὑμᾶς, τοῦτο οὐκ ἂν ἔχοι χώραν· οὐ γὰρ δὴ πρότερον ἐγένετο, καὶ τότε αὐτὸν ἐχειροτόνησεν ὁ Θεός· οὐδὲ ἀπόβλητον ἔχει τὴν ἀρχὴν, ἀλλὰ φύσει [c] καὶ οὐσιωμένην. Ἐρωτηθεὶς γὰρ εἰ βασιλεὺς εἴη, Ἐγὼ εἰς τοῦτο γεγέννημαι, φησίν. Ὁ δὲ Πέτρος, ὡς περὶ τινὸς χειροτονηθέντος, οὕτω διαλέγεται. Περὶ γὰρ τῆς οἰκονομίας ὁ λόγος αὐτῷ [d] πάσης.

4. Ecquid miraris, si Petrus id dicat? Nam Paulus Athenienses alloquens, virum ipsum tan-
Act. 17 31. tum appellat dicens : *In viro in quo statuit fidem præbens omnibus, suscitans eum a mortuis :* nihilque de forma Dei loquitur, neque Deo æqualem dicit, neque quod sit splendor gloriæ ejus; idque merito. Nondum enim tempus hæc dicendi venerat; sed satis adhuc erat, ut ipsum hominem esse et resurrexisse admitterent. Sic et ipse Christus fecit; a quo edoctus Paulus, ita res dispensabat. Non enim statim nobis deitatem suam revelavit, sed prius propheta et Christus simplex homo putabatur; deinde et verbis et operibus id quod vere erat ostendit. Ideo Petrus in principio hoc utitur modo : nam hanc priorem ad Judæos concionem habuit. Quia enim de divinitate ejus

Καὶ τί θαυμάζεις, εἰ τοῦτο ὁ Πέτρος φησίν; Ἀθηναίοις γὰρ διαλεγόμενος ὁ Παῦλος, ἄνδρα αὐτὸν καλεῖ μόνον, οὕτω λέγων· Ἐν ἀνδρὶ ᾧ ὥρισε πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν· καὶ οὐδὲν περὶ τῆς τοῦ Θεοῦ λέγει μορφῆς, οὐδὲ ὅτι ἴσος αὐτῷ,
C οὐδὲ ὅτι ἀπαύγασμα τῆς δόξης αὐτοῦ· εἰκότως. Οὔπω γὰρ τούτων καιρὸς τῶν ῥημάτων ἦν, ἀλλ' ἀγαπητὸν ἦν αὐτοὺς παραδέξασθαι τέως ὅτι ἄνθρωπός ἐστι, καὶ ὅτι ἀνέστη. Οὕτω καὶ αὐτὸς ἐποίησε Χριστός· παρ' οὗ καὶ Παῦλος μαθὼν, οὕτω τὰ πράγματα [e] ᾠκονόμει. Οὐ γὰρ εὐθέως ἡμῖν ἑαυτοῦ τὴν θεότητα ἐξεκάλυψεν, ἀλλὰ πρῶτον μὲν ἐνομίζετο εἶναι προφήτης καὶ Χριστὸς ἁπλῶς ἄνθρωπος· ὕστερον δὲ ἐφάνη διὰ τῶν ἔργων καὶ τῶν ῥημάτων τοῦτο ὅπερ ἦν. Διὰ τοῦτο καὶ ὁ Πέτρος ἐν ἀρχῇ τούτῳ κέχρηται τῷ τρόπῳ· καὶ γὰρ ταύτην [f] πρώτην πρὸς Ἰουδαίους ἐδημηγόρει δημηγο-

[a] Alii εἰσάγεις.

[b] Savil. ὑπεκρίναντο; ἄλλως τε τὸ Κύριος καὶ τὸ Χριστὸς, οὐκ ἔστιν οὐσίας, ἀλλ' ἀξιώματος. Morel. vero ὑπεκρίναντο; ὅτι τὸ Κύριος καὶ τὸ Χριστὸς, οὐκ ἔστιν οὐσίας· τὸ γὰρ Κύριος καὶ Χριστὸς δηλωτικὸν οὐκ ἔστιν οὐσίας, minus recte.

[c] καί ante οὐσιωμένην deest in Savil.

[d] πάσης. Savil. legendum putat πᾶς, et melius certe quadraret ad seriem. Sed omnes Editi et Mss. πάσης habent.

[e] Quidam οἰκονομεῖ. [Mox pro Χριστός recte Savil. et Cod. 706 χρηστός.]

[f] πρώτην deest in quibusdam Mss. [Mox Savil. et Cod. 706 καὶ ἐπειδὴ οὐδέν.]

ρίαν. Ἐπειδὴ γὰρ οὐδὲν περὶ τῆς θεότητος αὐτοῦ τέως σαφὲς μαθεῖν ἴσχυον, διὰ τοῦτο τοῖς περὶ τῆς οἰκονομίας ἐνδιατρίβει λόγοις, ἵνα τούτοις ἡ ἀκοὴ γυμνασθεῖσα, τῇ λοιπῇ προοδοποιήσῃ διδασκαλίᾳ. Καὶ εἰ βούλοιτό τις τὴν δημηγορίαν πᾶσαν ἄνωθεν διελθεῖν, εὑρήσει τοῦτο ὃ λέγω σφόδρα διαλάμπον. Καὶ γὰρ ἄνδρα αὐτὸν καλεῖ καὶ αὐτὸς, καὶ τοῖς τοῦ πάθους, καὶ τῆς ἀναστάσεως, καὶ τῆς κατὰ σάρκα γεννήσεως ἐνδιατρίβει λόγοις. Καὶ Παῦλος δὲ, ὅταν λέγῃ, Τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, οὐδὲν ἕτερον ἡμᾶς παιδεύει, ἀλλ' ὅτι τὸ, Ἐποίησεν, ἐπὶ τῆς οἰκονομίας παρείληπται, ὃ καὶ ἡμεῖς ὁμολογοῦμεν. Ἀλλ' ὁ τῆς βροντῆς υἱὸς περὶ τῆς ἀῤῥήτου καὶ προαιωνίου ἡμῖν ὑπάρξεως διαλέγεται νῦν. Διὰ τοῦτο τὸ, Ἐποίησεν, ἀφεὶς, τὸ, Ἦν, ἔθηκεν. Ἐχρῆν δὲ εἰ κτιστὸς ἦν, τοῦτο μάλιστα διορίσασθαι. Εἰ γὰρ ὁ Παῦλος ἔδεισε μή τις ὑποπτεύσῃ τῶν ἀνοήτων, ὅτι τοῦ Πατρὸς ἔσται μείζων, καὶ ὑποτεταγμένον ἕξει τὸν γεννήσαντα· διὰ γὰρ τοῦτο καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγεν· Ὅταν δὲ εἴπῃ, ὅτι ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα· καίτοι τίς ἂν ὑπονοήσειεν, ὅτι ὁ Πατὴρ ὑποταγήσεταί ποτε τῷ Υἱῷ καὶ μετὰ τῶν πάντων; ἀλλ' ὅμως εἰ καὶ τὰς ἀλόγους ταύτας ὑπονοίας δέδοικε, καί φησιν, Ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα· πολλῷ μᾶλλον τὸν Ἰωάννην, εἰ κτιστὸς ἦν ὁ Υἱὸς τοῦ Θεοῦ, φοβηθῆναι ἔδει, μή τις αὐτὸν ἄκτιστον νομίσῃ, καὶ τοῦτο πρὸ πάντων διδάξαι. Νῦν δὲ, ἐπειδὴ γεννητὸς ἦν, εἰκότως οὔτε αὐτὸς, οὔτε ἄλλος οὐδεὶς, οὐκ ἀπόστολος, οὐ προφήτης, κτιστὸν αὐτὸν ἔφησαν εἶναι. Καὶ αὐτὸς δὲ ὁ Μονογενὴς οὐκ ἂν αὐτὸ [a]παρῆκεν, εἰ τοῦτο ἦν. Ὁ γὰρ τὰ οὕτω ταπεινὰ φθεγγόμενος διὰ συγκατάβασιν, πολλῷ μᾶλλον τοῦτο οὐκ ἂν [b]ἐσιώπησεν. Οἶμαι γὰρ οὐκ ἀπεικὸς, μᾶλλον ἔχοντα τὸ ὑψηλὸν σιγῆσαι, ἢ μὴ ἔχοντα παραλιπεῖν τοῦτο αὐτὸν, καὶ μὴ διδάξαι ὅτι οὐκ ἔχει. Ἐκεῖ μὲν γὰρ εὔλογος πρόφασις τῆς σιγῆς ἦν, τὸ βούλεσθαι διδάσκειν τοὺς ἀνθρώπους ταπεινοφρονεῖν, καὶ διὰ τοῦτο σιγᾷν τὰ μεγάλα τῶν προσόντων αὐτῷ· ἐνταῦθα δὲ οὐδεμίαν ἔχοις εἰπεῖν δικαίαν πρόφασιν τῆς σιωπῆς. Τίνος γὰρ ἕνεκεν ἐσίγα, εἰ κτιστὸς ἦν, τὸ γεγενῆσθαι, ὁ καὶ τῶν προσόντων πολλὰ παραιτούμενος; Ὥστε ὁ διὰ τὴν τῆς ταπεινοφροσύνης διδασκαλίαν καὶ τὰ μὴ προσόντα αὐτῷ πολλάκις εἰπὼν ταπεινὰ, πολλῷ μᾶλλον, εἰ κτιστὸς ἦν, τοῦτο οὐκ ἂν παρέλιπεν. Ἢ οὐχ ὁρᾷς, αὐτὸν, ἵνα μηδεὶς αὐτὸν ἀγέννητον ὑπολάβῃ, πάντα ὑπὲρ τούτου καὶ ποιοῦντα καὶ λέγοντα, καὶ ἀνάξια αὐτοῦ φθεγγόμενον [c]τῆς ἀξίας καὶ τῆς οὐσίας, καὶ εἰς προφήτου ταπεινότητα καταβαίνοντα; Τὸ γὰρ, Καθὼς ἀκούω κρίνω· καὶ τὸ, Ἐκεῖνός μοι εἶπε τί εἴπω καὶ

[a] παρῆκεν. Nonnulli habent παρέθηκεν. [Paulo ante Savil. ἔρησεν.]

nihil hactenus ediscere potuerant, ideo de Christi humana natura verba facit, ut his exercitatus auditus, ad reliquam percipiendam doctrinam aptaretur. Quod si quis voluerit totam concionem altius repetere, id quod dico conspicuum esse inveniet. Nam et virum illum vocat, deque passione, resurrectione, et generatione secundum carnem pluribus agit. Paulus vero cum dicit, *Qui factus est ex semine David secundum carnem*, nihil aliud nos docet, quam quod illud, *Fecit*, de œconomia dictum sit; id quod etiam nos confitemur. Verum filius tonitrui de ineffabili et ante sæcula exsistentia nunc nos alloquitur. Ideo illo, *Fecit*, relicto, *Erat*, dixit. Oportebat enim, si creatum fuisset, id maxime definire. Si enim Paulus timuit ne quis ex insipientibus suspicaretur Filium Patre majorem fore, et Genitorem sibi subjectum habiturum esse : nam ideo Corinthiis scribens dicebat : *Cum autem dicit, Subjecta sunt, sine dubio præter eum qui subjecit ei omnia;* atqui quis suspicaretur Patrem cum omnibus subjectum fore Filio? et tamen si has absurdas suspiciones timuit et dicit, *Præter eum qui subjecit ei omnia;* multo magis Joannem, si Filius Dei creatus fuisset, timere oportebat, ne quis ipsum increatum putaret, illudque præ omnibus docere. Cum autem genitus sit, jure neque ipse, neque alius quispiam, vel apostolus vel propheta creatum ipsum fuisse dicit. Imo neque ipse Unigenitus id prætermisisset, si creatus vere fuisset. Qui enim tam humilia sese demittendo loquitur, multo minus id tacuisset. Nam verisimilius puto ipsum quam haberet præstantiam potius tacuisse, quam si non haberet id prætermisisse, nec significasse id se non habere. Illic consentanea tacendi causa erat, quod vellet docere homines humilitatem, ideoque præstantiam suam obtegeret; hic autem ne minimam quidem probabilem tacendi causam dicere possis. Cur enim si creatus erat, se factum esse tacuisset, qui multa sibi congruentia prætermittebat? Itaque is qui ad docendum humilitatem abjecta, sibi non competentia, sæpe dixit, multo magis, si creatus fuisset, id non prætermissurus erat. Nonne vides ipsum, ne quis ingenitum suspicaretur nihil non agentem et dicentem, imo indigna loquentem sua dignitate et substantia, atque in prophetæ humilitatem sese demittentem? Illud enim, *Sicut audio judico* : et illud, *Ille mihi dixit quid dicam et quid loquar*, et similia,

Rom. 1. 3.
1. Cor. 15. 26. 27.
Christus cur humilia aliquando verba proferat.
Joan. 5. 30. et 12. 49.

[b] Alii ἐσιώπησεν· εἰκὸς γὰρ ἦν μᾶλλον, sic bene multi.
[c] Hæc, τῆς ἀξίας καί, desunt in quibusdam.

prophetarum tantum verba sunt. Si ergo ut hanc
tolleret suspicionem, tam humilia proferre verba
non dedignatus est: multo magis, si creatus esset,
ne quis increatum illum suspicaretur, multa simi-
lia dixisset; verbi causa, Nolite putare me geni-
tum esse a Patre; nam factus, non genitus sum,
neque ex eadem ex qua ille substantia. Nunc au-
tem omnino contra facit; nam ea loquitur, quæ vel
invitos cogant ad contrariam amplectendam sen-
Joan. 14. 10. tentiam; ut nempe: *Ego in Patre et Pater in*
Ibid. 9. *me*; et, *Tanto tempore vobiscum sum, et non*
cognovisti me, Philippe? Qui videt me, videt
Ibid. 5. 23. *et Patrem*; et, *Ut omnes honorent Filium,*
Ibid. 5. 21. *sicut honorant Patrem. Sicut Pater suscitat*
mortuos, et vivificat: sic et Filius, quos vult,
Ibid. 5. 17. *vivificat. Pater meus usque modo operatur, et*
Ibid. 10. 15. et 30. *ego operor. Sicut novit me Pater, et ego nosco*
Patrem. Ego et Pater unum sumus. Et ubique
Sicut et *Ita* ponit, dicitque se et Patrem unum
esse, nullamque esse differentiam declarat. Aucto-
ritatem vero et per hæc et per alia plura demon-
Marc. 4. 39. strat; ut cum dicit, *Tace, obmutesce; Volo,*
Matth. 8. 3. *mundare; Tibi dico: Surde et mute dæmon,*
Marc. 9. 25. *exi ab eo*: illudque, *Audistis quia dictum est*
Matth. 5. 21. 22. *antiquis, Non occides: ego autem dico vobis,*
Qui irascitur fratri suo frustra, reus erit. Si-
miliaque statuit, et miracula edit, quæ possint
ejus potentiam demonstrare: imo vel minima qui-
dem illorum pars eos, qui non omni prorsus sensu
carent, adducere et persuadere possit.

5. Verum ea est inanis gloriæ vis, ut vel in re-
bus manifestissimis possit eorum qui illa capti
sunt mentem excæcare, atque illis suadere, ut
etiam adversus ea quæ in confesso sunt conten-
dant; aliosque, quibus nota veritas est, ad si-
mulandum et contra nitendum incitet: quod
etiam Judæis accidit. Non enim per ignoran-
tiam Filium Dei negabant, sed ut apud vulgus ho-
Joan. 12. 42. norem sibi conciliarent. Nam *Credebant in eum,*
inquit, sed timebant ne extra synagogam fie-
rent, in aliorumque gratiam salutem suam pro-
debant. Non potest enim, non potest utique is qui

τί λαλήσω, καὶ ὅσα τοιαῦτα, προφητῶν μόνον ἐστίν.
Εἰ τοίνυν ταύτην θέλων τὴν ὑποψίαν ἀνελεῖν, οὕτω
ταπεινὰ φθέγξασθαι οὐκ ἀπηξίωσε ῥήματα· πολλῷ
D μᾶλλον ἂν, εἰ κτιστὸς ἦν, ἵνα μὴ ἄκτιστόν τις αὐτὸν
ὑποπτεύσῃ, πολλὰ τοιαῦτα ἂν εἶπεν· οἷον, μὴ νομίζετέ
με γεγεννῆσθαι παρὰ τοῦ Πατρός· πεποίημαι ἐγὼ, οὐ
γεγέννημαι, οὐδὲ εἰμὶ τῆς οὐσίας ἐκείνου. Νῦν δὲ πᾶν
τοὐναντίον ποιεῖ· ἐκεῖνα γὰρ φθέγγεται τὰ ῥήματα,
ἃ καὶ τοὺς μὴ βουλομένους ἀναγκάζει καὶ ἄκοντας τὴν
ἐναντίαν δέξασθαι ὑπόνοιαν, οἷον, ὅτι Ἐγὼ ἐν τῷ Πα-
τρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· καὶ, Τοσοῦτον χρόνον μεθ'
ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Ὁ ἑωρα-
κὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα· καὶ, Ἵνα πάντες τι-
μῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα. Ὥσπερ ὁ
Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω
E καὶ ὁ Υἱὸς, οὓς θέλει, ζωοποιεῖ. Ὁ Πατήρ μου
ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Καθὼς γι-
νώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα.
Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. Καὶ πανταχοῦ τὸ ὥσπερ
καὶ τὸ οὕτω τιθεὶς, καὶ τὸ ἓν εἶναι πρὸς τὸν Πατέρα,
τὴν πρὸς αὐτὸν ἀπαραλλαξίαν [d] δηλοῖ· τὴν δὲ αὐθεν-
τίαν, καὶ διὰ τούτων μὲν, καὶ δι' ἑτέρων δὲ πλειόνων
ἐνδείκνυται· οἷον ὅταν λέγῃ· Σιώπα, πεφίμωσο·
Θέλω, καθαρίσθητι· Σοὶ λέγω, τὸ δαιμόνιον τὸ κωφὸν
καὶ ἄλαλον, ἔξελθε ἀπ' αὐτοῦ. Καὶ τὸ, Ἠκούσατε ὅτι
23 A ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν,
ὅτι ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται.
Καὶ ὅσα ἄλλα τοιαῦτα νομοθετεῖ καὶ θαυματουργεῖ,
ἱκανὰ δεῖξαι αὐτοῦ τὴν ἐξουσίαν· μᾶλλον δὲ τὸ πολ-
λοστὸν αὐτῶν μέρος ἱκανὸν τοὺς μὴ λίαν ἀναισθητοῦν-
τας [a] προσαγαγέσθαι καὶ πεῖσαι.

Ἀλλὰ γὰρ δεινὸν ἡ κενοδοξία καὶ πρὸς τὰ λίαν
φανερὰ ἀποτυφλῶσαι τὴν διάνοιαν τῶν ὑπ' αὐτῆς
ἁλισκομένων, καὶ τοῖς ὡμολογημένοις πεῖσαι φιλονει-
κεῖν· ἑτέρους δὲ καὶ σφόδρα εἰδότας τἀληθὲς καὶ πε-
πεισμένους, εἰς ὑπόκρισιν καὶ ἀντίστασιν ἀλείφει.
B Ταῦτα καὶ ἐπὶ τῶν Ἰουδαίων ἐγίνετο. Οὐ γὰρ δι'
ἄγνοιαν ἠρνοῦντο τὸν τοῦ Θεοῦ Υἱὸν, ἀλλ' ἵνα τῆς
παρὰ τῶν πολλῶν τύχωσι τιμῆς. Καὶ γὰρ Ἐπίστευον
εἰς αὐτὸν, φησὶν, ἀλλ' ἐφοβοῦντο ἵνα μὴ ἀποσυνάγω-
γοι γένωνται, * καὶ τὴν αὐτῶν προέτειναν σωτηρίαν
ἑτέροις. Οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν οὕτω σφοδρῶς
τῇ παρούσῃ δουλεύοντα δόξῃ, τῆς παρὰ τοῦ Θεοῦ

[d] Morel. διὰ τούτων δηλοῖ. In Savil. διὰ τούτων deest.

[a] Alii προσάγεσθαι. Mox ἡ κενοδοξία, quidam ἡ φιλαρχία, unus [et Cod. 706] ἡ φιλαργυρία.

* καὶ τὴν αὐτῶν προέτειναν σωτηρίαν ἑτέροις. Savil. *Puto locum esse corruptum; neque enim ex his verbis commodum sensum elicio. Boisius longiuscule a verbis recedens,* καὶ οὕτως τὴν αὐτῶν προΐεντο σωτηρίαν ἑτέροις δουλεύοντες. *Forte* προΐεσαν. Ego vero existimo locum ut in omnibus exemplaribus legitur optime habere. Postquam enim dixit multos ex Judæis, qui credebant in Christum, non confessos ipsum esse, ne extra synagogam ejicerentur, addit καὶ τὴν αὐτῶν προέτειναν σωτηρίαν ἑτέροις: id est ad litteram, *et salutem suam aliis protenderunt*, sive propinarunt; id est, ut nemo non videt, *et in aliorum gratiam salutem suam prodiderunt.*

τυχεῖν. Διὸ καὶ ἐπετίμησεν αὐτοῖς, εἰπών· Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν παρὰ τοῦ Θεοῦ μὴ ζητοῦντες; Μέθη γάρ τίς ἐστι [b] βαθεῖα· διὸ καὶ δυσανάγωγον τὸν χειρωθέντα ποιεῖ τοῦτο τὸ πάθος. Αὕτη τῶν ἁλόντων τὴν ψυχὴν ἀποσχίσασα τῶν οὐρανῶν, τῇ γῇ προσηλοῖ, καὶ πρὸς τὸ φῶς ἀναβλέψαι τὸ ἀληθινὸν οὐκ ἀφίησιν, ἀλλ' ἐν C τῷ βορβόρῳ διαπαντὸς καλινδεῖσθαι πείθει, κατασκευάζουσα δεσπότας αὐτοῖς οὕτω δυνατοὺς, ὡς χωρὶς ἐπιταγμάτων αὐτῶν κρατεῖν. Ὁ γὰρ τοῦτο νοσῶν τὸ νόσημα, καὶ μηδενὸς κελεύοντος, αὐτομάτως ποιεῖ πάντα, ὅσαπερ ἂν οἴηται τέρπειν αὐτοῦ τοὺς κυρίους. Καὶ γὰρ ἱμάτια καλὰ περιτίθεται δι' ἐκείνους, καὶ καλλωπίζει τὴν ὄψιν, οὐχ ἑαυτῷ τοῦτο, ἀλλ' ἑτέροις ἐπιτηδεύων, καὶ ἀκολούθους περιάγει κατὰ τὴν ἀγορὰν, ἵνα θαυμάζηται παρ' ἑτέρων· καὶ πάντα ἃ ποιεῖ τῆς τῶν ἄλλων ἕνεκεν ἀρεσκείας ὑπομένει μόνης. Ἆρα γένοιτ' ἄν τι τούτου χαλεπώτερον πάθος; [c] Ἵνα ἕτεροι θαυμάσωσιν αὐτὸν, καταχρημνίζεται συνεχῶς. D Ἱκανὰ μὲν οὖν καὶ τὰ εἰρημένα παρὰ τοῦ Χριστοῦ, δεῖξαι πᾶσαν αὐτοῦ τὴν τυραννίδα· [d] πλὴν καὶ ἐντεῦθεν ἔστιν αὐτὴν συνιδεῖν. Εἰ γὰρ ἐθελήσεις ἐρωτῆσαί τινα τῶν πολιτευομένων καὶ τὰ πολυτελῆ δαπανώντων δαπανήματα, τίνος ἕνεκεν τοσοῦτον κενοῦσι χρυσίον, καὶ τί βούλεται αὐτοῖς ἡ τοσαύτη δαπάνη, οὐδὲν ἕτερον ἀκούσῃ παρ' αὐτῶν, ἀλλ' ἢ τοῦ δήμου τὴν ἀρέσκειαν. Εἰ δὲ πάλιν ἔροιο τί δήποτε ὁ δῆμός ἐστιν, ἐροῦσι, πρᾶγμα θορύβου γέμον καὶ ταραχῶδες, καὶ ἐξ ἀνοίας τὸ πλέον συγκείμενον, ἁπλῶς φερόμενον, κατὰ τὰ τῆς θαλάττης κύματα, πολλάκις καὶ ἐκ ποι- E κίλου καὶ μαχομένης συνιστάμενον γνώμης. Ὅταν οὖν τις τοιοῦτον ἔχῃ δεσπότην, τίνος ἐλεεινότερος οὐκ 24 ἂν εἴη; Ἀλλὰ τὸ μὲν ἀνθρώπους βιωτικοὺς περὶ ταῦτα A ἐπτοῆσθαι, οὐχ οὕτω δεινόν· καίπερ ὂν δεινόν· τὸ δὲ τοὺς τοῦ κόσμου λέγοντας ἀποπεπηδηκέναι τὰ αὐτὰ νοσεῖν, μᾶλλον δὲ χαλεπώτερα, τοῦτο μάλιστά ἐστι τὸ δεινόν. Ἐκείνοις μὲν γὰρ μέχρι χρημάτων ἡ ζημία· ἐνταῦθα δὲ μέχρι ψυχῆς ὁ κίνδυνος. Ὅταν γὰρ διὰ δόξαν πίστιν ἀμείβωσιν ὀρθὴν, καὶ ἵνα αὐτοὶ δοξάζωνται, τὸν Θεὸν ἀτιμάζωσι, τίνα ὑπερβολὴν [a] οὐκ ἂν ἔχοι βλακείας καὶ μανίας τὸ γινόμενον; εἰπέ μοι. Τὰ μὲν οὖν ἄλλα πάθη, κἂν πολλὴν τὴν βλάβην ἔχῃ, φέρει γοῦν τινα καὶ ἡδονὴν, εἰ καὶ πρόσκαιρον καὶ βραχεῖαν. Καὶ γὰρ ὁ φιλοχρήματος, καὶ ὁ φίλοινος, B καὶ ὁ φιλογύνης, ἔχουσί τινα μετὰ τῆς βλάβης καὶ ἡδονὴν, εἰ καὶ βραχεῖαν· οἱ δὲ τοῦ πάθους αἰχμάλωτοι τούτου, διαπαντὸς κατάπικρον ζῶσι βίον καὶ

præsentem gloriam ita captat, illam quæ a Deo est assequi. Quapropter increpavit eos his verbis : *Quomodo potestis credere, qui gloriam ab hominibus accipitis, et illam quæ a Deo est non quæritis?* Joan. 5.44. Ea quippe profunda quædam ebrietas est : ideoque is qui illo animi morbo captus est, difficile resipiscit. Inanis gloriæ malum. Hæc labes captivorum animam a cælo abscindens, terræ affigit, nec sinit veram intueri lucem, sed in cœno semper volutari curat, dominos ipsis parans ita potentes, ut sine jussu aliquo ipsis imperent. Nam is qui hujusmodi morbo laborat, etiam nemine jubente, sponte illa omnia efficit, quæ putat dominis illis placere posse. Illorum quippe gratia pulchris induitur vestibus, faciem ornat, non sibi, sed aliis; famulorum turbam in foro circumducit, ut aliis sit admirationi : quidquid denique facit, ut aliis placeat, exhibet. Num hoc animi morbo quidquam deterius esse possit? Ut aliis sit admirationi, sæpe se præcipitem dat. Satis certe essent ea quæ a Christo dicta sunt ad hujus morbi tyrannidem demonstrandam : verum hinc etiam illa cognoscatur. Nam si quempiam ex illis civibus qui sumtus profundunt maximos interroges, cur tantum auri impendant, quid sibi volunt hujusmodi sumtus, nihil aliud respondebunt, quam ut populo placeant. Si rursum sciscitaris, quid sit populus : Quidpiam, inquient, tumultu plenum et perturbatione, ex insipientia plerumque constans, quod temere sæpe ultro citroque fertur, instar marinorum fluctuum, et secum pugnante sententia plerumque jactatum. Qui talem habet dominum, quo non miserabilior fuerit? Sed quod sæculares homines his inhient, non ita grave est, etsi grave revera sit : quod autem qui se mundo renuntiasse dicunt, hoc morbo laborent, imo majore, id certe gravissimum. Illis enim pecuniarum tantum est jactura : his vero animæ periculum. Nam cum gloriæ causa a recta fide desciscunt, et ut sibi gloriam pariant, Deum dedecore afficiunt, quantum, quæso, torporis, quantum insaniæ res hæc præ se fert? Cætera porro vitia, licet multum damni inferant, aliquam saltem afferunt voluptatem, etsi temporaneam et brevem. Nam avarus, ebriosus, mulierumque amans, aliquam damno admixtam, etsi brevem, voluptatem habent : qui autem hoc morbo capti sunt, acerbam semper et voluptate vacuam agunt vitam. Neque

[b] *βαθεῖα· διό.* Sic Morel. Savil. autem *διό* in marg. exhibet.

[c] Savil. *ἵνα ἕτεροι.* Morel. *ἵνα γὰρ ἕτεροι.* Ibid. Savil. post *συνεχῶς* addit *βούλει μαθεῖν αὐτοῦ τὴν τυραννίδα; ἄκουε.* Sed hæc, *βούλει μαθεῖν αὐτοῦ τὴν τυραννίδα,* quæ in aliquot Mss. leguntur, inutilia videntur.

[d] [*πλὴν.... συνιδεῖν* Savil. in marg. habet. In textu vero cum Cod. 706 *ἄκουε δὲ καὶ τῶν ἑξῆς.*]

[a] Morel. *οὐχ ἕξοι βλακείας.* Savil. et quidam Mss. *οὐκ ἂν ἔχοι βλακείας.* Alii non pauci *οὐκ ἂν ἔχοι βλάβης.*

enim id quod maxime amant assequuntur; gloriam nempe et auram popularem; sed videntur quidem illa frui, neque tamen fruuntur, quod illud minime sit gloria : ideoque vitium illud, non gloria, sed res gloria vacua dicitur; vanamque gloriam veteres omnes id jure vocarunt. Vacua namque est, nihil intus habens splendidum vel gloriosum. Sed quemadmodum larvæ videntur quidem decoræ et amabiles, sed vacuæ intus sunt : ideo licet formosiores sint cæteris corporibus, neminem umquam ad sui amorem allexerunt: sic illa apud vulgus gloria; imo longe miserabilius, hunc morbum curatu difficilem et tyrannicum nobis efformat. Conspectum quippe solum splendidum habet; interiora vero, non vacua modo, sed etiam dedecore et crudeli tyrannide plena sunt. Unde ergo nascitur, inquies, morbus tam absurdus, nullaque afficiens voluptate? Unde? Non aliunde quam a vili et abjecto animo. Non potest enim is qui gloriæ amore captus est, magnum aut generosum quidpiam facile cogitare; sed necesse est ut turpis, vilis, inglorius et exiguus sit. Qui enim pro virtute nihil, sed ut hominibus nullius pretii placeat, omnia facit, quique illorum sententiam erroneam et fallacem ubivis sequitur, quomodo gloria dignus esse possit? Animadverte autem. Si quis illum interroget : Quid tu vulgus esse arbitraris? ignavam haud dubie et desidem multitudinem esse dicet. Quid vero? num illis similis esse optaveris? Si quis autem illum denuo sic percontetur, non puto ipsum se talem esse optaturum. Quomodo igitur non admodum ridiculum fuerit, illorum auram aucupari, quibus numquam similis esse velis?

Gloria popularis, non est vere gloria.

ἡδονῆς ἀπεστερημένον. Οὐ γὰρ ἐπιτυγχάνουσιν οὗ σφόδρα ἐρῶσι, δόξης λέγω τῆς παρὰ τῶν πολλῶν· ἀλλὰ δοκοῦσι μὲν ἀπολαύειν αὐτῆς, οὐκ ἀπολαύουσι δὲ, διὰ τὸ μηδὲ εἶναι δόξαν τὸ πρᾶγμα. Διὰ τοῦτο οὐδὲ δόξα, ἀλλὰ κενὸν δόξης πρᾶγμα εἴρηται τὸ πάθος· [b] κενοδοξίαν δὲ αὐτὸ καὶ οἱ παλαιοὶ πάντες εἰκότως ἐκάλεσαν. Διάκενος γάρ ἐστιν, ἔνδον οὐδὲν
C ἔχουσα λαμπρὸν καὶ ἐπίδοξον. Ἀλλ' ὥσπερ τὰ προσωπεῖα δοκεῖ μὲν εἶναι λαμπρὰ καὶ ἐπέραστα, κενὰ δὲ ἔνδον ἐστί· διὸ καὶ τῶν σωματικῶν ὄψεων [c] εὐπρεπέστερα ὄντα, οὐδένα οὐδέποτε πρὸς τὸν ἔρωτα εἷλε τὸν αὐτῶν· οὕτω, μᾶλλον δὲ ἀθλιώτερον, καὶ ἡ παρὰ τῶν πολλῶν δόξα, τὸ δυσκαταγώνιστον τοῦτο καὶ τυραννικὸν πάθος ἡμῖν ἐσχημάτισεν. Ὄψιν γὰρ ἔχει μόνην λαμπρὰν, τὰ δὲ ἔνδον αὐτῆς οὐκ ἔτι κενὰ μόνον, ἀλλὰ καὶ ἀτιμίας ἀνάμεστα, καὶ ὠμῆς γέμει τῆς τυραννίδος. Πόθεν οὖν τίκτεται τοῦτο τὸ πάθος, οὕτως ἄλογον ὂν, καὶ ἡδονὴν οὐκ ἔχον, φησί; Πόθεν; Οὐχ ἑτέρωθεν, ἀλλ' ἢ ἀπὸ ψυχῆς ταπεινῆς καὶ εὐτελοῦς.
D Οὐ γάρ ἐστι τὸν ὑπὸ δόξης ἁλόντα, μέγα τι καὶ νεανικὸν ἐννοῆσαι ταχέως· ἀλλ' αἰσχρὸν αὐτὸν εἶναι δεῖ, καὶ εὐτελῆ, καὶ ἄτιμον, καὶ μικρόν. Ὁ γὰρ δι' ἀρετὴν μὲν μηδὲν ποιῶν, ἵνα δὲ ἀνδράσιν ἀρέσκῃ μηδενὸς ἀξίοις λόγου, καὶ πανταχοῦ τὴν ἐκείνων ψῆφον τιθέμενος τὴν ἐσφαλμένην καὶ πλανωμένην, πῶς ἂν ἄξιος εἴη [d] τινός; Σκόπει δέ. Εἴ τις αὐτὸν ἔροιτο· σὺ δὲ τί νομίζεις εἶναι τοὺς πολλούς; εὔδηλον ὅτι ῥαθύμους καὶ ἠμελημένους ἐρεῖ. Τί δέ; ἕλοιο ἂν γενέσθαι κατ' ἐκείνους; Εἴ τις αὐτὸν ἔροιτο πάλιν, οὐκ ἄν μοι δοκεῖ θελῆσαι
E γενέσθαι. Πῶς οὖν οὐκ ἔσχατος γέλως, τὴν τούτων δόξαν θηρεύειν, ὧν οὐκ ἂν ἕλοιο γενέσθαι παραπλήσιός ποτε;

6. Sin dixeris multos esse et in unum coactos, ideo maxime contemnendi. Nam si singuli contemtu digni, plurimi coacti longe magis despiciendi erunt. Multorum enim insipientia, collecta multitudine, magis augetur. Quapropter si singulos seorsim quis duxerit, emendare poterit; simul coactos non facile, eo quod insipientia sit major, et illi instar pecorum agantur, mutuamque sequantur sententiam. Talemne, quæso, multitudinis auram sectabimini? Ne, quæso et obsecro. Id enim omnia sus deque vertit : id avaritiam peperit, invidiam, criminationes, insidias : illud eos qui nullam passi sunt injuriam, contra eos qui nullam intulerunt, armat et efferat. Qui hoc laborat morbo

Εἰ δὲ λέγοις, ὅτι πολλοὶ καὶ συνεστηκότες τινές εἰσι, διὰ τοῦτο μάλιστα αὐτῶν καταφρονεῖν ἐχρῆν. Εἰ
25 γὰρ καθ' ἑαυτοὺς ὄντες εἰσὶν εὐκαταφρόνητοι, ὅταν
A πολλοὶ γένωνται, μειζόνως τοῦτο συμβήσεται. Ἡ γὰρ τῶν καθ' ἕκαστον ἄνοια, συλλεγέντων ὁμοῦ, μείζων ὑπὸ τοῦ πλήθους αὐξηθεῖσα γίνεται. [a] Διὸ καὶ καθ' ἕνα μὲν αὐτῶν εἰ λάβοι, ποτὲ ἄν τις καὶ διορθώσειεν· ὁμοῦ δὲ ὄντας, οὐκ ἂν δυνηθείη ῥᾳδίως, διὰ τὸ τὴν ἄνοιαν ἐπιτείνεσθαι, καὶ δίκην θρεμμάτων ἄγεσθαι, καὶ πανταχοῦ ταῖς παρ' ἀλλήλων ἕπεσθαι δόξαις. Ταύτης οὖν, εἰπέ μοι, τῆς παρὰ τῶν πολλῶν ἀντιποιήσεσθε δόξης; Μὴ, δέομαι καὶ ἀντιβολῶ. Τοῦτο γὰρ πάντα ἄνω καὶ κάτω πεποίηκε· τοῦτο πλεονεξίαν ἔτεκε, βασκανίαν, κατηγορίαν, ἐπιβουλάς· τοῦτο τοὺς οὐδὲν ἠδικημένους

[b] Savil. κενοδοξίαν γὰρ αὐτό.

[c] Morel. ἐκπρεπέστερα.

[d] Alii τινός. εἰπὲ γάρ μοι· εἴ τις.

[a] Savil. διὸ καὶ ἕνα. Sed melius Morel. et Mss. omnes καὶ καθ' ἕνα.

κατὰ τῶν οὐδὲν ἠδικηκότων ὁπλίζει καὶ ἐκθηριοῖ. Καὶ οὔτε φιλίαν οἶδεν ὁ τούτῳ τῷ νοσήματι περιπεσὼν, οὐ συνηθείας μέμνηται, οὐκ αἰδεῖσθαι οὐδένα ὅλως ἐπί- B
σταται· ἀλλὰ πάντα ἀπὸ τῆς ψυχῆς ῥίψας τὰ καλὰ, πρὸς πάντας ἐκπεπολέμωται, ἄστατος, ἄστοργος ὤν. Καὶ τὸ μὲν τῆς ὀργῆς πάθος, εἰ καὶ αὐτὸ τυραννικόν τί ἐστι καὶ ἀφόρητον, ἀλλ' οὐκ ἀεὶ διενοχλεῖν εἴωθεν, ἀλλ' ὅταν ἔχῃ τοὺς παροξύνοντας μόνον· τὸ δὲ τῆς κενοδοξίας διαπαντὸς, καὶ οὐκ ἔστι καιρὸς, ὡς εἰπεῖν, ἐν ᾧ λῆξαι δυνήσεται, μὴ λογισμοῦ κωλύοντος αὐτὴν καὶ καταστέλλοντος, ἀλλ' ἀεὶ πάρεστιν, οὐ μόνον ἀναπείθουσα ἁμαρτάνειν, ἀλλὰ κἂν τύχωμέν τι κατορθοῦντες, καὶ τοῦτο ἀφαρπάζουσα τῶν χειρῶν, ἔστι δὲ ὅτε οὐδὲ [b] ἀφιεῖσα τὴν ἀρχὴν κατορθῶσαι. Εἰ δὲ C
τὴν πλεονεξίαν ὁ Παῦλος εἰδωλολατρείαν καλεῖ· τὴν ταύτης μητέρα καὶ ῥίζαν καὶ πηγὴν, τὴν κενοδοξίαν λέγω, τί δίκαιον ὀνομάσαι; Οὐδὲ γὰρ προσηγορίαν τῆς κακίας ἀξίαν ἐστὶν εὑρεῖν. Ἀνανήψωμεν τοίνυν, ἀγαπητοὶ, καὶ τὸ πονηρὸν ἀποδυσώμεθα τοῦτο ἱμάτιον, καὶ διαῤῥήξωμεν καὶ [c] ἀποτέμωμεν, καὶ γενώμεθά ποτε ἐλεύθεροι τὴν ἐλευθερίαν τὴν ἀληθῆ, καὶ λάβωμεν αἴσθησιν τῆς εὐγενείας τῆς παρὰ τοῦ Θεοῦ δεδομένης ἡμῖν· καταφρονήσωμεν τῆς τῶν πολλῶν δόξης. Οὐδὲν γὰρ οὕτω καταγέλαστον καὶ ἄτιμον, ὡς τοῦτο τὸ πάθος· οὐδὲν οὕτως αἰσχύνης γέμον καὶ πολλῆς ἀδοξίας. Καὶ τοῦτο πολλαχόθεν ἴδοι τις ἂν, ὅτι τὸ D
μὲν δόξης ἐρᾷν, ἀδοξία, δόξα δὲ ὄντως, τὸ ταύτης ὑπεροραν, καὶ μηδένα αὐτῆς ποιεῖσθαι λόγον, ἀλλὰ πρὸς τὸ τῷ Θεῷ δοκοῦν ἅπαντα καὶ λέγειν καὶ ποιεῖν. Οὕτω γὰρ δυνησόμεθα καὶ μισθὸν λαβεῖν παρὰ τοῦ τὰ ἡμέτερα ὁρῶντος ἀκριβῶς, ὅταν αὐτῷ μόνῳ ἀρκώμεθα θεατῇ. Τί γὰρ ἡμῖν καὶ ἑτέρων ὀφθαλμῶν δεῖ, [d] τοῦ τιμᾷν μέλλοντος ἡμᾶς ὁρῶντος ἀεὶ τὰ γινόμενα παρ' ἡμῶν; Πῶς δὲ οὐκ ἄτοπον, τὸν μὲν οἰκέτην πάντα ὅσαπερ ἂν ποιῇ, εἰς ἀρέσκειαν τοῦ δεσπότου ποιεῖν, καὶ μηδὲν πλέον ἐπιζητεῖν τῆς θεωρίας τῆς E
τούτου, μηδὲ ἑτέρους ὀφθαλμοὺς ἐφέλκεσθαι πρὸς τὴν πρᾶξιν, κἂν μεγάλοι οἱ θεωροῦντες ὦσιν, ἀλλ' ἓν μόνον σκοπεῖν ὅπως ὁ δεσπότης θεάσηται· ἡμᾶς δὲ τοιοῦτον ἔχοντας Κύριον, ἑτέρους ἐπιζητεῖν θεατὰς τοὺς ὠφελῆσαι μὲν οὐδὲν, βλάψαι δὲ ἐκ τῆς θεωρίας δυναμένους, καὶ κενῶσαι πάντα τὸν πόνον ἡμῖν; Μὴ, παρακαλῶ· ἀλλ' ὅθεν ἔχομεν τοὺς μισθοὺς λαβεῖν, 26
A τοῦτον καλῶμεν ἐπαινέτην τῶν γινομένων, τοῦτον θεατήν. Μηδὲν ἡμῖν καὶ ἀνθρωπίνοις ὀφθαλμοῖς ἔστω. Εἰ γὰρ ἐθέλοιμεν καὶ ταύτης ἐπιτυχεῖν τῆς δόξης, τότε αὐτῆς ἐπιτευξόμεθα, [a] ὅταν τὴν παρὰ τοῦ Θεοῦ ζητῶμεν μόνην. Τοὺς γὰρ δοξάζοντάς με δοξάσω,

non amicitiam novit, non consuetudinem, neminem prorsus reveretur; sed bonis omnibus ex animo rejectis, cum omnibus bellum gerit, inconstans et inhumanus. Iræ certe morbus, etsi tyrannicus sit et intolerabilis, non semper exagitare solet, sed cum ab aliquibus irritatur: at vanæ gloriæ amor semper viget, nullum tempus, ut ita dicam, est quo desinere possit, nisi ratio illam cohibeat et comprimat, sed semper adest, non modo ad peccandum incitans, sed etiam si quid recte egerimus, e manibus præripiens: aliquando vero non sinit recte operari. Quod si Paulus avaritiam idolorum servitutem vocet; *Ephes. 5. 5.* ejus matrem, radicem et fontem, vanam gloriam scilicet, quo nomine vocabimus? Neque enim illud tantæ nequitiæ dignum inveniemus. Resipiscamus igitur, dilecti, et hoc perniciosum exuamus vestimentum: ipsum discindamus et dissecemus, veraque libertate tandem liberi efficiamur, atque in sensum nobis a Deo concessæ nobilitatis veniamus: multitudinis auram despiciamus. Nihil enim magis hoc morbo ridiculum et indecorum: nihil tanta turpitudine et infamia plenum. Hocque multis ex rationibus videre est: quod nempe gloriam concupiscere, ignominia; illam autem despicere et nihil reputare, vere gloria sit; sed omnia ad Dei placitum et dicenda et agenda sunt. Sic enim poterimus mercedem accipere ab eo qui nostra accurate respicit, quando illo solo contenti erimus spectatore. Quid enim nobis aliis oculis opus, cum is qui nobis honorem et præmium largiturus est, gesta nostra semper videat? Quomodo non absurdum sit, servum quidem ad heri sui placitum omnia facere, nihilque aliud quærere, quam ut ab ipso videatur, neque alios ad gesta sua oculos exquirere, quantumvis magni sint alii spectatores, sed unum scopum habere ut ab hero suo videatur; nos autem talem habentes Dominum, alios quærere spectatores, qui nos nihil juvare, sed aspiciendo nocere possunt, totumque laborem nostrum fructu vacuum reddere? Ne, quæso, id agamus: sed a quo mercedem accepturi sumus, eum gestorum laudatorem advocemus et spectatorem. Nihil nobis commune cum humanis oculis sit. Si enim hanc gloriam assequi voluerimus, eam profecto consequemur, cum solam Dei quæremus gloriam. *Nam glorificantes me glorificabo,* inquit. Ac quemadmodum tunc maxime divitiis affluimus, cum illas

Deum unum laudatorem quærere oportet

1. Reg. 2. 31.

[b] Alii ἀφεῖσα.

[c] Morel. ἀποτέμνωμεν.

[d] Alii τοῦ τιμᾷν θέλοντος.

[a] Alii ὅτε.

spernimus, et a Deo tantum divitias quærimus
Matth. 6. 33. (nam ait, *Quærite regnum Dei et hæc omnia adjicientur vobis*); sic et de gloria dicendum. Cum largitio sive pecuniarum, sive gloriæ periculo vacat, tunc illam Deus abundanter impertit. Tunc autem hæc sine periculo sunt, cum nobis non imperant, nec dominantur; nec nobis tamquam servis utuntur, sed ut heris et liberis adsunt. Ideo non vult nos illas amare, ne iis subjiciamur. Quod si assequamur, illas nobis cum abundantia multa largitur. Quid enim Paulo clarius, quæso, qui ait :
1. Thess. 2. 6. *Non quærimus ab hominibus gloriam, neque a vobis, neque ab aliis?* quid locupletius illo qui nihil habet, et omnia possidet? Cum enim, ut dixi, non subjiciemur eis, tunc illas tenebimus, tunc accipiemus. Si itaque gloriam assequi cupiamus, gloriam fugiamus; sic enim poterimus, servatis Dei præceptis, et præsentia et futura consequi bona per gratiam Christi, qui cum Patri gloria, unaque Spiritui sancto, in sæcula sæculorum. Amen.

φησί. Καὶ ὥσπερ χρημάτων τότε μάλιστα εὐποροῦμεν, ὅταν καταφρονῶμεν αὐτῶν, καὶ τὸν παρὰ τοῦ Θεοῦ ζητῶμεν πλοῦτον μόνον (Ζητεῖτε γάρ, φησὶ, τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν)· οὕτω καὶ ἐπὶ τῆς δόξης, ὅταν ἡμῖν λοιπὸν ἀκίνδυνος ἡ δόσις [b] ᾖ καὶ ἡ τῶν χρημάτων καὶ ἡ τῆς B δόξης, τότε αὐτὴν ἐπιδαψιλεύσεται ὁ Θεός. Ἀκίνδυνος δὲ τότε ἐστὶν, ὅταν ἡμῶν μὴ κρατῇ, μηδὲ περιγίνηται, μηδὲ ὡς δούλοις αὐτῇ ἐπιτάττῃ, ἀλλ' ὡς δεσπόταις καὶ ὡς ἐλευθέροις παραγίνηται. Διὰ γὰρ τοῦτο οὐδὲ βούλεται αὐτῶν ἡμᾶς ἐρᾷν, ἵνα μὴ κρατώμεθα παρ' αὐτῶν. Κἂν τοῦτο κατορθώσωμεν, δίδωσιν ἡμῖν αὐτὰ μετὰ πολλῆς τῆς δαψιλείας. Τί γὰρ Παύλου λαμπρότερον, εἰπέ μοι, τοῦ λέγοντος· Οὐ ζητοῦμεν παρὰ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων; τί δὲ εὐπορώτερον τοῦ μηδὲν ἔχοντος, καὶ πάντα κατέχοντος; Ὅταν γὰρ, ὅπερ ἔφην, μὴ κρατώμεθα ὑπ' αὐτῶν, τότε αὐτῶν κρατήσομεν, τότε αὐτὰ ληψόμεθα. C Εἰ τοίνυν ἐπιθυμοῦμεν ἐπιτυχεῖν δόξης, φεύγωμεν δόξαν· οὕτω γὰρ δυνησόμεθα τοῦ Θεοῦ τοὺς νόμους ἀνύσαντες, τυχεῖν καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐπηγγελμένων [c] ἀγαθῶν χάριτι τοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[b] ᾖ deest in quibusdam Mss.
[c] Morel. ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι, etc.

HOMILIA IV.

In principio erat Verbum, et Verbum erat apud Deum.

1. Traditis ad disciplinas pueris, non gravia magistri statim imponunt onera, neque confertim hoc faciunt, sed paulatim, et eadem ipsis sæpe repetunt, ut ea facilius in mente imprimant, ne a principio deterriti multitudine eorum quæ vix memoria retinere valeat, segniores evadant ad ea quæ sibi tradita sunt colligenda, desidia tandem ex difficultatibus parta. Hunc ego morem sequar, levemque vobis laborem reddam : ac paulatim et per partes acceptis iis, quæ in hac sacra mensa proponuntur, sic ea in animos vestros immittam. Ideoque ipsa iterum verba proponam, non ut idem repetam, sed ut addam omissa. Age ergo verba rursus ab initio adducamus : *In principio erat Verbum, et Verbum erat apud Deum.* Cur cum

ΟΜΙΛΙΑ δ'.

Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν.

D Τοῖς ἄρτι τῶν παίδων εἰσαγομένοις πρὸς τὰ μαθήματα οὔτε πολλὰ [d] ἐφεξῆς ἐπιτιθέασιν οἱ διδάσκαλοι τὰ φορτία, οὔτε εἰσάπαξ τοῦτο ποιοῦσιν, ἀλλὰ καὶ βραχέα, καὶ τὰ αὐτὰ πολλάκις ἐνηχοῦσιν αὐτοῖς, ὥστε αὐτῶν ῥᾳδίως ἐντεθῆναι τῇ διανοίᾳ τὰ λεγόμενα, ἀλλὰ μὴ ἐκ προοιμίων δυσχεράναντας αὐτοὺς πρὸς τὸ πλῆθος καὶ τὸ τῆς μνήμης δυσκάθεκτον, ὀκνηροτέρους γενέσθαι περὶ τὴν συλλογὴν τῶν δοθέντων, νάρκης τινὸς αὐτοῖς ἀπὸ τῆς δυσκολίας ἐγγινομένης. Τοῦτο δὴ καὶ αὐτὸς κατασκευάσαι βουλόμενος, καὶ τὸν πόνον ὑμῖν ποιῆσαι κοῦφον, κατὰ E μικρὸν ἀπολαμβάνων τὰ ἐν τῇ θείᾳ ταύτῃ τραπέζῃ, εἰς τὰς ὑμετέρας οὕτως ἐνίημι ψυχάς. Διὸ καὶ τῶν αὐτῶν ἅψομαι πάλιν ῥημάτων, οὐχ ὥστε τὰ αὐτὰ πάλιν εἰπεῖν, ἀλλ' ὥστε τὰ λείποντα προσθεῖναι μό-

[d] ἐφεξῆς deest in quibusdam Mss.

νων. Φέρε οὖν, τὸν λόγον ἐπὶ τὰ προοίμια πάλιν ἀγάγωμεν. Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. Τίνος ἕνεκεν, τῶν ἄλλων ἁπάντων εὐαγγελιστῶν ἀπὸ τῆς οἰκονομίας ἀρξαμένων (καὶ γὰρ ὁ Ματθαῖός φησι, Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυίδ· καὶ ὁ Λουκᾶς τὰ κατὰ τὴν Μαρίαν ἡμῖν ἐν ἀρχῇ διηγεῖται· καὶ ὁ Μάρκος δὲ ὁμοίως τοῖς αὐτοῖς ἐνδιατρίβει λόγοις, τὴν κατὰ τὸν βαπτιστὴν ἱστορίαν ἐντεῦθεν ὑφαίνων), ὁ Ἰωάννης τοῦτο μὲν ἐν βραχεῖ καὶ μετὰ ταῦτα ᾐνίξατο εἰπὼν, Καὶ ὁ Λόγος σὰρξ ἐγένετο· τὰ δὲ ἄλλα πάντα παραδραμὼν, τὴν σύλληψιν, τὸν τόκον, τὴν ἀνατροφὴν, τὴν αὔξησιν, εὐθέως περὶ τῆς ἀϊδίου γεννήσεως ἡμῖν διηγεῖται; Τί ποτ' οὖν ἐστι τὸ αἴτιον τούτων, ἤδη πρὸς ὑμᾶς ἐρῶ. Τῶν λοιπῶν εὐαγγελιστῶν τὸ πλέον ἐν τοῖς κατὰ σάρκα διατριψάντων λόγοις, δέος ἦν τοῦ μή τινας διὰ τοῦτο χαμαιπετεῖς ὄντας τούτοις ἐναπομεῖναι μόνοις τοῖς δόγμασιν· ὃ καὶ Παῦλος ἔπαθεν ὁ Σαμοσατεύς. [a] Ἐκ ταύτης τοίνυν ἀνάγων τῆς χαμαιζηλίας τοὺς μέλλοντας ἐμπεσεῖσθαι, καὶ εἰς τὸν οὐρανὸν ἀνέλκων, εἰκότως ἄνωθεν καὶ ἐκ τῆς ὑπάρξεως τῆς ἀϊδίου ποιεῖται τῆς διηγήσεως τὴν ἀρχήν. Τοῦ μὲν γὰρ Ματθαίου ἀπὸ Ἡρώδου τοῦ βασιλέως, τοῦ Λουκᾶ δὲ ἀπὸ Τιβερίου τοῦ Καίσαρος, τοῦ δὲ Μάρκου ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου πρὸς τὴν διήγησιν εἰσβαλόντων, πάντα ταῦτα [b] ἀφεὶς οὗτος, ἀνωτέρω παντὸς ἄνεισι χρόνου τε καὶ αἰῶνος, ἐκεῖ τὴν διάνοιαν τῶν ἀκροατῶν ἀκοντίζων πρὸς τὸ, Ἐν ἀρχῇ ἦν, καὶ οὐκ ἀφιεὶς στῆναί που, οὐδὲ ὅρον τιθεὶς, καθάπερ ἐκεῖνοι, τὸν Ἡρώδην καὶ τὸν Τιβέριον καὶ τὸν Ἰωάννην. Ὃ δὲ ἄξιον [c] μετὰ τούτων θαυμάσαι, ἐκεῖνο μάλιστα εἰπεῖν ἐστιν, ὅτι οὔτε οὗτος πρὸς τὸν ὑψηλότερον ἑαυτὸν λόγον ἀφιεὶς τῆς οἰκονομίας ἠμέλησεν· οὔτε ἐκεῖνοι τὴν περὶ ταύτης ἐσπουδακότες διήγησιν, τὴν προαιώνιον ἐσίγησαν ὕπαρξιν· καὶ μάλα εἰκότως. Ἓν γὰρ ἦν τὸ Πνεῦμα τὸ κινοῦν τὰς ἁπάντων ψυχάς· διὸ καὶ πολλὴν περὶ τὴν ἀπαγγελίαν ἐπεδείξαντο τὴν ὁμόνοιαν. Σὺ δὲ, ἀγαπητὲ, Λόγον ἀκούσας, μηδέποτε ἀνάσχῃ τῶν λεγόντων ἔργον αὐτὸν εἶναι, ἀλλὰ μηδὲ τῶν ἁπλῶς λόγον αὐτὸν εἶναι νομιζόντων. Πολλοὶ μὲν γὰρ οἱ τοῦ Θεοῦ λόγοι, οὓς καὶ ἄγγελοι ποιοῦσιν, ἀλλ' οὐδεὶς ἐκείνων τῶν λόγων Θεὸς, ἀλλ' ἐκεῖνοι μὲν ἅπαντες προφητεῖαι [d] καὶ προστάγματα (οὕτω γὰρ ἔθος τῇ Γραφῇ καλεῖν τοὺς νόμους τοῦ Θεοῦ, καὶ τὰ ἐπιτάγματα, καὶ τὰς προφητείας· διὸ καὶ ἐπάγει λέγων περὶ τῶν ἀγγέλων, Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ)· οὗτος δὲ ὁ Λόγος οὐσία τίς ἐστιν ἐνυπόστατος, ἐξ αὐτοῦ προελ-

[a] Alii ἐκ ταύτης οὖν ἀνάγων.

[b] Alii ἀφεὶς αὐτός.

[c] Savil. μετὰ τοῦτο, Morel. μετὰ τούτων, et sic Mss.

Cur alii evangelistæ ab incarnatione orsi sint, Joannes vero secus.

alii evangelistæ ab incarnatione Christi orsi sunt (nam Matthæus sic orditur : *Liber generationis Jesu Christi, filii David;* Lucas nobis ea quæ Mariam spectant in principio enarrat; Marcus vero similia fere profert, ex Baptistæ historia orsus), Joannes id paucis et post illa priora subindicavit his verbis, *Et Verbum caro factum est*, cæterisque omnibus prætermissis, conceptione, partu, educatione, incremento, æternam statim generationem nobis enarrat? Quænam horum causa sit, jam vobis dicam. Cum cæteri evangelistæ de iis quæ carnem spectant ut plurimum verba fecissent, timendum erat, ne quipiam humi repentes in hisce dogmatibus consisterent; quod et Paulo Samosatensi contigit. Ex hac igitur abjecta opinione reducens eos qui lapsuri erant, et ad cælos erigens, jure ex superna æternaque exsistentia narrandi principium ducit. Nam cum Matthæus ab Herode rege, Lucas a Tiberio Cæsare, Marcus a baptismate Joannis narrationem cœpissent: istis omnibus ille omissis, statim supra tempus et sæculum omne conscendit, illucque auditorum mentem quasi jaculatur, cum ait, *In principio erat :* neque consistendi locum relinquit, neque terminum ponit, ut illi, Herodem nempe, Tiberium et Joannem. Ad hæc, quod summopere mirandum, neque hic sublimiorem aggressus sermonem, œconomiam sive incarnationem neglexit; neque, qui eam narraverunt, illius ante sæcula exsistentiam tacuerunt; idque jure merito. Unus quippe Spiritus erat qui omnes movebat; ideoque magnum in narratione consensum exhibuerunt. Tu vero, dilecte, cum Verbum audis, ne feras eos qui dicunt ipsum opificium esse; neque eos qui putant ipsum simpliciter verbum esse. Multa nempe sunt Dei verba, quæ et angeli faciunt; sed nullum horumce verborum Deus est; verum illa omnia sunt prophetiæ et præcepta (sic enim solet Scriptura vocare leges Dei, præcepta et prophetias : ideoque de angelis adjicit, *Potentes virtute facientes verbum illius*) : hoc autem Verbum substantia est in hypostasi, quæ a Patre sine passione procedit. Illud enim, ut dixi, per Verbi appellationem significavit. Quemadmodum igitur illud, *In principio erat Verbum*, æternitatem denotat : ita et illud, *Hoc erat in principio apud Deum*, coæternitatem nobis significat. Etenim ne audiens, *In principio erat Verbum*, æternum quidem existimares,

v. 14.

Paulus Samosatensis humi repit.

Verbum quid sit.

Psal. 102. 20.

multi.

[d] Quidam καὶ πράγματα.

sed Patrem aliquo vitæ interstitio seniorem, et majoris ævi crederes, neve principium Unigenito dares, adjecit *Erat in principio apud Deum :* ita æternus ut Pater; numquam enim Verbo vacuus fuit; sed semper Deus apud Deum fuit in propria sibi hypostasi. Quomodo ergo, inquies,
v. 10. adjecit, *In mundo erat*, si erat apud Deum? Quia et apud Deum Deus erat, et in mundo erat : nullo quippe clauditur termino sive Pater,
Psal. 144. 3. et 146. 5. sive Filius. Nam si *Magnitudinis ejus non est finis, Et sapientiæ ejus non est numerus*, liquet neque substantiæ illius esse initium temporale. Audisti, *In principio fecit Deus cælum et terram?* Quid cogitas de hoc principio? Certe quod hæc ante omnia visibilia facta sint. Sic et cum de Unigenito audis, *In principio erat*, ante intelligibilia omnia et ante sæcula ipsum esse intelligas oportet. Quod si quis dixerit : Et quomodo fieri potest, ut Filius cum sit, non sit junior Patre? nam qui ex aliquo est, necessario posterior est illo a quo est : respondebimus, hæc ex humanis cogitationibus proficisci, et eum qui hæc quærit, absurdiora etiam quæsiturum esse; nec esse illa vel auribus percipienda. De Deo quippe nobis est sermo, non de hominum natura, hujusmodi ratiociniorum consequentiæ et necessitati subjecta. Verumtamen ad infirmiores roborandos respondebimus.

2. Dic ergo mihi : Radius solis ex naturane solis exsilit, an aliunde? Necessario fatendum, nisi sensibus vacui simus, ex ejus natura prodire. Et tamen licet ex sole radius prodeat, numquam dicemus ipsum esse solari natura posteriorem : quandoquidem numquam sol sine radio visus est. Quod si in his visibilibus et sensibilibus quidpiam sit quod sit ex aliquo, neque posterius sit illo; cur id non credis de invisibili et ineffabili natura? Certe hoc ipsum ita se habet, ut illam substantiam decet. Ideoque Paulus eo ipsum vo-
Hebr. 1. 3. cavit nomine, simul declarans et ex ipso et coæternum ipsi esse. Quid igitur? dic mihi, annon

θοῦσα ἀπαθῶς τοῦ Πατρός. Τοῦτο [e] γὰρ, ὡς ἔφθην εἰπὼν, διὰ τῆς τοῦ Λόγου προσηγορίας ἐδήλωσεν. Ὥσπερ οὖν τὸ, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, τὸ ἀΐδιον δηλοῖ· οὕτω τὸ, Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, τὸ
E συναΐδιον ἡμῖν ἐνέφηνεν. Ἵνα γὰρ μὴ, ἀκούσας ὅτι Ἐν ἀρχῇ ἦν ὁ Λόγος, ἀΐδιον μὲν νομίσῃς, πρεσβυτέραν δὲ διαστήματί τινι τοῦ Πατρὸς τὴν ζωὴν ὑποπτεύσῃς καὶ αἰῶνι πλείονι, καὶ τῷ Μονογενεῖ δῷς ἀρχὴν, ἐπήγαγε τὸ, ὅτι Ἐν ἀρχῇ πρὸς τὸν Θεὸν ἦν, [f] οὕτως ἀΐδιος, ὡς αὐτὸς ὁ Πατήρ· οὐ γὰρ ἦν ἔρημος οὐδέποτε τοῦ Λόγου, ἀλλ' ἀεὶ Θεὸς πρὸς Θεὸν ἦν, ἐν ὑποστάσει μέντοι ἰδίᾳ. Πῶς οὖν, φησὶν, εἶπεν, ὅτι
28 Ἐν τῷ κόσμῳ ἦν, εἴ γε πρὸς τὸν Θεὸν ἦν; Ὅτι καὶ
A πρὸς τὸν * Θεὸν ἦν, καὶ ἐν τῷ κόσμῳ ἦν. Οὐδαμοῦ γὰρ περατοῦται, οὔτε ὁ Πατὴρ, οὔτε ὁ Υἱός. Εἰ γὰρ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας, Καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός· οὐδὲ τῆς οὐσίας εὔδηλον ὅτι ἀρχή τις χρονική. Ἤκουσας, ὅτι Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν; Τί νοεῖς ἀπὸ τῆς ἀρχῆς ταύτης; Εὔδηλον ὅτι τὸ πρὸ πάντων γενέσθαι αὐτὰ τῶν ὁρατῶν. Οὕτω καὶ περὶ τοῦ Μονογενοῦς ἀκούων, ὅτι Ἐν ἀρχῇ ἦν, πρὸ πάντων αὐτὸν νόει τῶν νοητῶν καὶ πρὸ τῶν αἰώνων. Εἰ δὲ λέγοι τις· καὶ πῶς ἔστιν, Υἱὸν ὄντα μὴ νεώτερον εἶναι τοῦ Πατρός; τὸ γὰρ ἔκ τινος ὂν, ἀνάγκη πᾶσα ὕστερον εἶναι τοῦ
B ἐξ οὗ ἐστιν, ἐροῦμεν, ὅτι μάλιστα μὲν ταῦτα [a] λογισμῶν ἀνθρωπίνων ἐστί· καὶ ὁ τοῦτο ζητῶν, καὶ ἕτερα τούτων ἀτοπώτερα ζητήσει· καὶ οὐδὲ τῇ ἀκοῇ τὰ τοιαῦτα παραδέχεσθαι ἔδει. Περὶ Θεοῦ γὰρ νῦν ἡμῖν ὁ λόγος ἐστὶν, οὐ περὶ τῆς τῶν ἀνθρώπων φύσεως, ὑποκειμένης τῇ τῶν λογισμῶν τούτων ἀκολουθίᾳ τε καὶ ἀνάγκῃ. Πλὴν ἀλλ' ὑπὲρ πληροφορίας τῶν ἀσθενεστέρων, καὶ πρὸς ταῦτα ἐροῦμεν.

Εἰπὲ γάρ μοι, τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτῆς ἐκπηδᾷ τῆς τοῦ ἡλίου φύσεως, ἢ ἄλλοθέν ποθεν; Ἀνάγκη πᾶσα ὁμολογῆσαι τὸν μὴ καὶ τὰς αἰσθήσεις πε-
C πηρωμένον, ὅτι ἐξ αὐτῆς. Ἀλλ' ὅμως καὶ ἐξ αὐτοῦ ὂν τοῦ ἡλίου τὸ ἀπαύγασμα, οὐκ ἄν ποτε ὕστερον εἶναι φαίημεν τῆς ἡλιακῆς φύσεως, ἐπειδὴ μηδὲ χωρὶς ἀπαυγάσματος ἥλιος ἐφάνη ποτέ. Εἰ δὲ ἐπὶ τῶν σωμάτων τούτων τῶν ὁρατῶν καὶ αἰσθητῶν, καὶ ἔκ τινος ὂν, καὶ οὐχ ὕστερον ἐξ οὗ ἐστιν ἐφάνη τι ὂν, τί ἀπιστεῖς ἐπὶ τῆς ἀοράτου καὶ ἀῤῥήτου φύσεως; [b] Τὸ αὐτὸ δὴ τοῦτό ἐστιν οὕτως, ὡς ἐκείνῃ τῇ οὐσίᾳ πρέπον ἦν. Διὰ γάρ τοι τοῦτο καὶ ὁ Παῦλος αὐτὸν οὕτως ἐκάλεσε, καὶ τὸ ἐξ αὐτοῦ καὶ τὸ συναΐδιον παριστῶν. Τί δέ; εἰπέ

[e] [Savil. et Cod. 706 γὰρ καὶ, ὡς... Fort. γὰρ, ὡς καὶ...]

[f] Morel. οὕτως ἀΐδιος δηλῶν ὡς. Savil. οὕτως ἀΐδιος ὡς. [Paulo ante quidam δώῃς pro δῷς.]

* [Ita Savil. et Codd. 705 et 706. Montf. Θεός. Interpres legisse videtur Θεὸν Θεός, id quod voluit fort. Montf.]

[a] Quidam λογισμῶν ἀνθρώπων.

[b] Hic et alibi seriem mutandam incassum proponit Boisius.

μοι, οὐχ οἱ αἰῶνες δι' αὐτοῦ γεγόνασιν ἅπαντες καὶ διάστημα ἅπαν; Ἀνάγκη πᾶσα ὁμολογῆσαι τὸν μὴ D παραπαίοντα. Οὐκοῦν οὐδὲν μέσον Υἱοῦ καὶ Πατρός. Εἰ δὲ οὐδὲν, οὐχ ὕστερος, ἀλλὰ συναΐδιος. Τὸ γὰρ πρὸ, καὶ τὸ μετὰ, χρόνων εἰσὶν ἔννοιαι δηλωτικαί. Χωρὶς γὰρ αἰῶνος ἢ χρόνου οὐκ ἂν δυνηθείη τις ταῦτα νοῆσαι τὰ ῥήματα. Χρόνων δὲ καὶ αἰώνων ἀνώτερος ὁ Θεός. Εἰ δὲ ὅλως τοῦ Υἱοῦ φῂς ἀρχὴν κατειληφέναι, ὅρα μὴ καὶ τὸν Πατέρα ὑπὸ ἀρχὴν ἀναγκασθῇς [c]ἀγαγεῖν κατὰ τοῦτον τὸν λόγον καὶ τὸν λογισμὸν, πρεσβυτέραν μὲν, ἀρχὴν δὲ ὅμως. Εἰπὲ γάρ μοι, οὐχ ὅρον τινὰ καὶ ἀρχὴν [d]προστιθεὶς τῷ Υἱῷ, καὶ οὕτω προϊὼν ἀπ' αὐτῆς ἐπὶ τὸ ἄνω, τὸν Πατέρα προεῖναι λέγεις; Εὔδηλον ὅτι. Εἰπὲ οὖν μοι, πόσον ὁ Πατὴρ E προϋπάρχει; Ἄν τε γὰρ ὀλίγον, ἄν τε πολὺ διάστημα εἴπῃς, ὑπὸ τὴν ἀρχὴν τὸν Πατέρα ἤγαγες. Μετρήσας γὰρ εὔδηλον ὅτι τὸ μέσον, οὕτως ὀλίγον ἐρεῖς ἢ πολύ· μετρῆσαι δὲ οὐκ ἂν γένοιτο, μὴ ἑκατέρωθεν οὔσης 29 ἀρχῆς. Ὥστε καὶ τῷ Πατρὶ δέδωκας ἀρχὴν, τό γε εἰς σὲ A ἧκον· καὶ οὐκ ἔσται λοιπὸν οὐδὲ ὁ Πατὴρ ἄναρχος καθ' ὑμᾶς. Ὁρᾷς ὅτι τὸ παρὰ τοῦ Σωτῆρος λεχθὲν ἀληθές ἐστι, καὶ πανταχοῦ τὴν δύναμιν ἐνδείκνυται τὴν αὐτοῦ τὸ ῥῆμα; Ποῖον δὴ τοῦτο; Ὁ μὴ τιμῶν τὸν Υἱὸν, οὐ τιμᾷ τὸν Πατέρα. Καὶ οἶδα μὲν πολλοῖς ἀκατάληπτον ὂν τὸ λεχθέν· διὸ πολλαχοῦ καὶ τὰ ἀπὸ τῶν λογισμῶν ἀναβαλλόμεθα κινεῖν, ὅτι οὔτε παρακολουθεῖν αὐτοῖς ὁ λοιπὸς δύναιτ' ἂν δῆμος· οὔτε, εἰ παρακολουθήσειεν, ἔχει τι βέβαιον καὶ ἀσφαλές. Λογισμοὶ γὰρ ἀνθρώπων δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. Ἡδέως δ' ἂν κἀκεῖνο [a]ἐροίμην τοὺς ἀντιλέγοντας ἡμῖν, τί ποτέ ἐστι τὸ παρὰ τῷ προφήτῃ λεγόμενον, τὸ, Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, B καὶ μετ' ἐμὲ οὐκ ἔστιν; Εἰ γὰρ νεώτερος τοῦ Πατρὸς ὁ Υἱὸς, πῶς φησι, Μετ' ἐμὲ οὐκ ἔστιν; Ἆρα οὖν ἀναιρήσετε καὶ αὐτοῦ τοῦ Μονογενοῦς τὴν οὐσίαν; Ἀνάγκη γὰρ ἢ τοῦτο τολμᾷν, ἢ μίαν [b]παραδέξασθαι τὴν θεότητα ἐν ἰδίᾳ ὑποστάσει Πατρὸς καὶ Υἱοῦ. Ποῦ δὲ ὅλως τὸ, Πάντα δι' αὐτοῦ ἐγένετο, ἀληθές; Εἰ γάρ ἐστιν αἰὼν αὐτοῦ πρεσβύτερος, πῶς ἂν [*]τὸ πρὸ αὐτοῦ, δι' αὐτοῦ γεγεννημένον εἴη; Ὁρᾶτε εἰς ὅσην τόλμαν αὐτοὺς ἅπαξ παρακινηθείσης τῆς ἀληθείας ὁ λόγος ἐξήγαγε; Διατί γὰρ οὐκ εἶπεν ὁ εὐαγγελιστὴς, ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, καθάπερ περὶ πάντων ὁ Παῦλος ἀποφαίνεται, λέγων οὕτως, Ὁ καλέσας τὰ μὴ ὄντα ὡς C ὄντα, ἀλλ', Ἐν ἀρχῇ ἦν, φησί; τοῦτο γὰρ ἐναντίον ἐκείνῳ· καὶ μάλα εἰκότως. Θεὸς γὰρ οὔτε γίνεται,

sæcula omnia et spatium omne per ipsum facta sunt? Hoc confiteatur necesse est is, qui mente captus non sit. Ergo nihil medium est inter Filium et Patrem. Si nihil, ergo non posterior, sed coæternus est. Nam *ante* et *post* tempora significant. Hæ quippe voces non possunt sine sæculo vel tempore cogitari. Deus vero superior est temporibus et sæculis. Quod si omnino dixeris Filio principium esse, cave ne Patrem quoque sub principio eadem ratione constituere cogaris; antiquiore quidem, sed tamen principio. Dic enim mihi: Annon terminum atque principium Filio adscribens, atque ab illo principio altius prodiens, Patrem prius exsistere dicis? Id certe manifestum. Dic ergo mihi quanto spatio præexistit Pater? Sive enim parvum, sive magnum dixeris spatium, sub principio Patrem posuisti. Nam postquam mensuram spatii illius duxeris, sic dices vel parvum vel magnum esse: mensura vero duci non potest, nisi utrinque principium sit. Itaque Patri, quantum in te fuit, principium dedisti: sicque secundum vos ne Pater quidem sine principio erit. Viden' verum esse id quod a Servatore dictum est, et dictum illud virtutis ejus ubique argumentum esse? Quodnam illud est? *Qui non honorat* Joan. 5.23. *Filium, non honorat Patrem.* Novi multis hæc incomprehensibilia esse: ideoque ratiocinia hujusmodi movere sæpe cunctamur, quod vulgus illa assequi nequeat; vel si assequatur, illa non firma et certa maneant. *Ratiocinia* quippe *homi-* Sap. 9. 14. *num timida sunt, et fallaces cogitationes eorum.* Libenter autem adversarios interrogaverim, quid sit illud a propheta dictum: *Ante me non* Isai. 43. *fuit alius Deus, et post me non erit?* Nam si 10. junior est Patre Filius, quomodo dicit, *Post me non erit?* Num ergo Unigeniti substantiam tolletis? Necesse enim est aut eo audaciæ procedere, aut unam admittere divinitatem in propria hypostasi Patris et Filii. Quomodo autem illud, *Omnia* v. 3. *per ipsum facta sunt,* verum est? Nam si ævum est illo antiquius, quomodo id quod ante illum est, per ipsum factum fuerit? Videtisne in quantam temeritatem semel abjecta veritate processerint? Cur non dixit evangelista, ipsum ex non exstantibus factum esse, ut de omnibus Paulus his verbis asserit: *Qui vocavit ea quæ non sunt tam-* Rom. 4.16. *quam ea quæ sunt;* sed dicit, *In principio*

c Alii ἀγαγεῖν, alii ἀναγαγεῖν.

d Quidam προτιθείς. [Tum in Savil. et Cod. 706 καὶ ante οὕτω abest.] Et paulo post nonnulli προϊέναι λέγεις.

a ἐροίμην τούς, sic Savil. et maxima pars Mss. Morel. ἐροίμην πρὸς τούς.

b Sic Savil. et Mss. Morel. vero παραδέχεσθαι.

* [ὁ πρὸ αὐτοῦ... γεγεννημένος Savil. et Cod. 706.]

erat? hoc enim contrarium est illi; ac jure merito. Deus enim neque fit, neque quid se antiquius habet; verum hæc gentilium verba sunt. Dic et illud mihi: Annon dixeris creatorem creatis operibus incomparabiliter excellentiorem esse? Cum ergo ipsis simile foret id quod ex non exstantibus esset, ubi esset illa incomparabilis excellentia? *Isai.* 41. 4. et 43. 10. Quid autem est illud, *Ego primus, et ego post hæc*, et, *Ante me non fuit alius Deus?* Nam si Filius non sit ex eadem substantia, alius est Deus; si non coæternus, est post illum: ac si non ex substantia prodiit, palam est ipsum factum esse. Quod si dixerint hæc ad differentiam idolorum dicta fuisse, quomodo non concedent ad differentiam idolorum solum verum Deum dici? Quod si hoc etiam ad differentiam idolorum dictum sit, quomodo totam sententiam interpretaberis? *Post me* enim, inquit, *non est alius Deus.* Non ejiciens Filium hoc dicit, sed significat, Deus idolicus post me non est; non quod Filius non sit. Etiam, inquies. Quid igitur? illud, *Ante me non fuit alius Deus*, ita accipies, quod nempe idolicus deus non fuerit; at fuerit saltem ante eum Filius? (Deus idolicus.) Ecquis dæmon hæc dixerit? Ne ipsum quidem diabolum id puto dicturum esse. Alioquin autem, si non est coæternus Patri, quomodo infinitam ejus vitam dixeris? Nam si principium anterius habet; etiamsi infinitus sit, non tamen immensus erit: immensum enim utrinque immensum esse oportet; id quod etiam Paulus declarans dicebat: *Hebr.* 7. 3. *Neque principium dierum, neque finem vitæ habens*, et principio et fine carere declarans. Quemadmodum enim hoc, sic neque illud finem habet; cum neque hic finis sit, neque illic initium.

οὔτε ἔχει [c] τι πρεσβύτερον· ἀλλὰ ταῦτα Ἑλλήνων ῥήματα. Εἰπὲ δή μοι κἀκεῖνο· τὸν κτίστην τῶν ἔργων οὐχὶ ἀσυγκρίτως ὑπερέχειν εἴποις ἄν; Ὅταν [d] οὖν αὐτοῖς ὅμοιον ᾖ τὸ ἐξ οὐκ ὄντων, ποῦ ἡ ἀσύγκριτος ὑπεροχή; Τί δέ ἐστιν ὅλως τὸ, Ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ, Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός; Εἰ γὰρ ὁ Υἱὸς μὴ εἴη τῆς αὐτῆς οὐσίας, ἕτερός ἐστι Θεός· καὶ εἰ μὴ συναΐδιος, ἔστι μετ' αὐτόν· καὶ D εἰ μὴ ἐκ τῆς οὐσίας προῆλθεν, εὔδηλον ὅτι ἐγένετο. Εἰ δὲ λέγοιεν, πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων ταῦτα εἰρῆσθαι, πῶς οὐ συγχωροῦσι πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων λέγειν τὸν μόνον ἀληθινὸν Θεόν; Εἰ δὲ καὶ πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων εἴρηται τοῦτο, πῶς ἑρμηνεύσεις τὴν ῥῆσιν ἅπασαν; Μετ' ἐμὲ γὰρ, φησὶν, οὐκ ἔστιν ἄλλος θεός. Οὐκ ἐκβάλλων τὸν Υἱὸν, τοῦτό φησιν, ἀλλ' ὅτι θεὸς εἰδωλικὸς μετ' ἐμὲ οὐκ ἔστιν· οὐχ ὅτι Υἱὸς [e] οὐκ ἔστι. Ναὶ φησί. Τί οὖν; καὶ τὸ, Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, οὕτως ἐκλήE ψῃ, ὅτι εἰδωλικὸς μὲν οὐκ ἐγένετο, ἐγένετο δ' οὖν ὅμως Υἱὸς ἔμπροσθεν αὐτοῦ; Καὶ ποῖος ἂν τοῦτο δαίμων εἴποι; Οὐδὲ γὰρ αὐτὸν οἶμαι τὸν διάβολον τοῦτο 30 [f] ἐρεῖν. Ἄλλως δὲ, εἰ οὐκ ἔστι συναΐδιος τῷ Πατρὶ, A πῶς ἄπειρον αὐτοῦ τὴν ζωὴν ἐρεῖς; Εἰ γὰρ ἀρχὴν ἄνωθεν ἔχει, κἂν ἀτελεύτητος ᾖ, ἄπειρος ὅμως οὐκ ἔστι· τὸ γὰρ ἄπειρον, ἑκατέρωθεν ἄπειρον εἶναι χρή. Ὅπερ οὖν καὶ ὁ Παῦλος δηλῶν ἔλεγε· Μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, τό τε ἄναρχον καὶ [a] ἀτελεύτητον δεικνὺς ταύτῃ. Ὥσπερ γὰρ τοῦτο οὐκ ἔχει πέρας, οὕτως οὐδὲ ἐκεῖνο· οὔτε γὰρ ἐνταῦθα τέλος, οὔτε ἐκεῖ ἀρχή.

3. Quomodo autem cum vita sit, fuerit tempus cum non esset? Vitam enim semper, ac sine principio et fine esse nemo non fateatur, si ille vere vita sit, ut revera est. Si vero fuit aliquando cum non esset, quomodo vita aliorum sit, quæ aliquando non fuit? Quomodo igitur, inquit, Joannes principium posuit dicens, *In principio erat?* Illine voci, quæso, *In principio*, et illi, *Erat*, attendis; et illam, *Verbum erat*, non cogitas? Quid vero, *Psal.* 89. 2. quando de Patre dicit propheta: *A sæculo et usque in sæculum tu es:* an his verbis terminos ipsi ponit? Nequaquam; sed æternitatem

Πῶς δὲ καὶ ζωὴ ὢν, ἦν ποτε ὅτε οὐκ ἦν; Τὴν γὰρ ζωὴν ἀεί τε εἶναι, καὶ ἀνάρχως εἶναι καὶ ἀτελευτήτως πάντες ἂν ὁμολογήσαιεν, εἴπερ ὄντως εἴη ζωὴ, ὥσπερ οὖν καὶ ἔστιν. Εἰ δὲ ἔστιν ὅτε οὐκ ἔστι, πῶς ἂν B εἴη ζωὴ τῶν ἄλλων, αὐτή ποτε οὐκ οὖσα; Πῶς οὖν, φησὶν, ἀρχὴν ἔθηκεν ὁ Ἰωάννης εἰπὼν, Ἐν ἀρχῇ ἦν; Τῷ, Ἐν ἀρχῇ, προσέσχες, καὶ τῷ, Ἦν, εἰπέ μοι· καὶ τὸ, Ὁ Λόγος ἦν, οὐκ ἐννοεῖς; Τί δὲ, ὅταν περὶ τοῦ Πατρὸς ὁ προφήτης λέγῃ· Ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ· ἄρα ὅρους αὐτῷ τιθεὶς οὕτω φησίν; Οὐδαμῶς, ἀλλὰ τὸ ἀΐδιον δηλῶν. Οὕτω τοίνυν καὶ ἐνταῦθα νόει. Οὐ γὰρ ὅρους τιθεὶς, τοῦτο εἴρηκεν.

[c] Morel. *τί ἑαυτοῦ πρεσβύτερον*; sed *ἑαυτοῦ* deest in Savil. et in Manuscriptis pene omnibus.

[d] Morel. *οὖν ἄλλοις ὅμοιον*. Savil. et Mss. *οὖν αὐτοῖς ὅμοιον*.

[e] Morel. et Savil. *οὐκ ἔστι. ναί φησι*. Alii *οὐκ ἔστιν. ἔστι γάρ φησιν*.

[f] Alii *ἐρεῖν. ὅλως δέ*.

[a] Alii *ἀτελεύτητον δηλῶν. ὥσπερ*.

Οὐδὲ γὰρ εἶπεν, ἀρχὴν ἔσχεν, ἀλλ', Ἐν ἀρχῇ ἦν, διὰ τοῦ, Ἦν, παραπέμπων σε ἐπὶ τὸ ἄναρχον ἐννοεῖν τὸν Υἱόν. Ἀλλ' ἰδοὺ, φησὶν, * ὁ Πατὴρ μετὰ τῆς τοῦ C ἄρθρου προσθήκης εἴρηται, ὁ δὲ Υἱὸς χωρὶς ταύτης. Τί οὖν, ὅταν ὁ ἀπόστολος λέγῃ, Τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ πάλιν, Ὁ ὢν ἐπὶ πάντων Θεός; ἰδοὺ γὰρ ἐνταῦθα χωρὶς τοῦ ἄρθρου τοῦ Υἱοῦ ἐμνημόνευσε. Ποιεῖ δὲ τοῦτο καὶ ἐπὶ τοῦ Πατρός. Τοῖς γοῦν Φιλιππησίοις ἐπιστέλλων, οὕτω φησίν· Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· καὶ Ῥωμαίοις δὲ πάλιν· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. [b] Ἄλλως τε καὶ περιττὸν ἦν ἐνταῦθα αὐτὸ προστεθῆναι, ἄνω συνεχῶς προστεθὲν τῷ λόγῳ. Ὥσπερ γὰρ περὶ τοῦ Πατρὸς λέγων D φησὶ, Πνεῦμα ὁ Θεός· καὶ οὐκ ἐπειδὴ τῷ Πνεύματι τὸ ἄρθρον οὐ πρόσκειται, οὐκ ἀθετοῦμεν διὰ τοῦτο τὸ ἀσώματον τοῦ Θεοῦ· οὕτω καὶ ἐνταῦθα, κἂν μὴ πρόσκειται τῷ Υἱῷ τὸ ἄρθρον, οὐ διὰ τοῦτο ἥττων Θεὸς ὁ Υἱός. Τί δήποτε; Θεὸν γὰρ καὶ Θεὸν εἰπὼν, οὐκ ἐμφαίνει τι μέσον ἡμῖν τῆς θεότητος ταύτης, ἀλλὰ καὶ τοὐναντίον. Προειπὼν γὰρ, Καὶ Θεὸς ἦν ὁ Λόγος, ἵνα μὴ νομίσῃ τις ἐλάττονα εἶναι τὴν θεότητα τοῦ Υἱοῦ, εὐθέως αὐτοῦ καὶ τὰ γνωριστικὰ τῆς γνησίας τίθησι θεότητος, τό τε ἀΐδιον ἀναλαβών· Οὗτος γὰρ ἦν, φησὶν, ἐν ἀρχῇ πρὸς τὸν Θεόν· καὶ τὸ δημιουργικὸν προστιθείς· Πάντα γὰρ δι' αὐτοῦ ἐγέ- E νετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν· ὃ μάλιστα καὶ ὁ Πατὴρ αὐτοῦ διὰ τῶν προφητῶν ἁπανταχοῦ τῆς οὐσίας τῆς αὐτοῦ γνωριστικὸν εἶναί φησι. Καὶ συνεχῶς τοῦτο τῆς ἀποδείξεως τὸ εἶδος πε- 81 ριστρέφουσιν οἱ προφῆται· καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ A πρὸς τὴν τῶν εἰδώλων ἀγωνιζόμενοι δόξαν. Θεοὶ γὰρ, φησὶν, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· καὶ πάλιν· Ἐγὼ τῇ χειρί μου ἐξέτεινα τὸν οὐρανόν· καὶ δεικνὺς θεότητος εἶναι δηλωτικὸν, πανταχοῦ αὐτὸ τίθησιν. Αὐτὸς δὲ ὁ εὐαγγελιστὴς οὐδὲ τούτοις ἠρκέσθη τοῖς ῥήμασιν, ἀλλὰ καὶ ζωὴν αὐτὸν ἐκάλεσε καὶ φῶς. Εἰ τοίνυν ἀεὶ μετὰ τοῦ Πατρὸς ἦν, εἰ πάντα αὐτὸς ἐδημιούργησε, εἰ πάντα αὐτὸς παρήγαγε καὶ [a] συγκροτεῖ (τοῦτο γὰρ διὰ τῆς ζωῆς ἠνίξατο), εἰ πάντα φωτίζει· τίς οὕτως ἀνόητος, ὡς εἰπεῖν, τὸν εὐαγγελιστὴν διὰ τούτων ἐσπουδακέναι ἐλάττωσιν θεότητος εἰσηγήσασθαι, δι' ὧν μάλιστα ἰσότητα καὶ ἀπαραλλαξίαν ἐνδείξασθαι δυνατόν ἐστι;

significat. Idipsum hic cogita. Non terminos ponens ita loquutus est: neque enim dixit, Principium habuit; sed, *In principio erat;* hac voce, *Erat*, te deducens ut Filium sine principio esse cogitares. At, inquies, Pater cum articulo dicitur, Filius vero sine articulo. Quid ergo cum apostolus dicit, *Magni Dei et Salvatoris nostri Jesu* Tit. 2. 13. *Christi;* et rursum, *Qui est super omnia Deus?* Rom. 9. 5. ecce namque hic sine articulo Filium memoravit. Idipsum de Patre observes. Nam ad Philippenses scribens sic ait: *Qui cum in forma Dei esset, non* Philip. 2. 6. *rapinam arbitratus est esse se æqualem Deo:* et ad Romanos: *Gratia vobis et pax a Deo Patre* Rom. 1. 7. *nostro, et Domino Jesu Christo.* Alioquin vero supervacaneum fuisset hic articulum præponere, cum supra frequenter appositus fuerit. Quemadmodum enim cum de Patre dicit, *Spiritus est* Joan. 4. 24. *Deus;* quia articulus Spiritui non præpositus est, non ideo incorporeum esse Deum negamus: sic et hoc loco, etiamsi Filio articulus non præponatur, non minus tamen Deus est Filius. Qua vero de causa? Cum enim Deum et Deum dixit, nullum indicat nobis divinitatis discrimen; imo prorsus contra. Cum enim prius dixisset, *Et Deus erat Verbum*, ne quis putaret minorem esse Filii divinitatem, statim veræ divinitatis ejus documenta profert; æternitatem nempe sic resumens, *Hic* v. 2. *erat a principio apud Deum;* creandi vim cum addit, *Omnia per ipsum facta sunt, et sine ipso* v. 3. *factum est nihil quod factum est:* id quod maxime Pater ejus per prophetas ubique substantiæ ejus argumentum esse dicit. Ac frequenter hoc demonstrationis genus prophetæ versant: neque ad hoc solum, sed ut etiam idolorum cultum tollant. Nam *dii*, inquit, *qui cælum et terram non* Jer. 10. 11. *fecerunt, pereant;* ac rursum, *Ego manu mea* Isai. 44. 24. *extendi cælum:* ostendensque illud esse divinitatis argumentum, id ubique ponit. Ipse autem evangelista, his non contentus verbis, vitam ipsum vocavit et lucem. Si itaque semper cum Patre erat, si omnia ipse condidit, produxit et continet (hoc enim per vitam significavit), si omnia illuminat; quis ita stultus erit ut dicat, evangelistam hæc verba ut divinitatem ejus minueret induxisse, quibus æqualitas paritasque demonstrari poterat? Ne,

Objectio hæreticorum: Filius Θεός dicitur sine articulo, refutatur.

* ὁ πατὴρ μετὰ τῆς τοῦ ἄρθρου προσθήκης εἴρηται, ὁ δὲ υἱὸς χωρὶς ταύτης, *Pater cum articulo dicitur, Filius vero sine articulo.* Hoc respicit illud Evangelii, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος, ubi τὸν Θεὸν cum articulo dicitur de Patre, καὶ Θεὸς ἦν sine articulo de Filio. Unde arguebant impie Ariani et Anomœi, Filium non esse Deum sicut Patrem, sed minorem, nec proprie Deum: quod contrariis exemplis confutat Chrysostomus.

b Sic Savil. et alii, Morel. vero ἄλλως δέ.

a Alii non pauci συγκρατεῖ.

quæso, confundamus creaturam cum Creatore, ne *Rom.* 1. 25. nos quoque audiamus : *Coluerunt creaturam præ Creatore.* Etiamsi enim de cælis hæc intelligenda dicant : attamen de his loquens omnino prohibuit ne creatura colatur, qui gentilium error est.

4. Ne itaque hujusmodi maledictioni nos subjiciamus. Ideo venit Filius Dei, ut nos ab hoc cultu erueret; ideo servi formam accepit, ut nos ab illa servitute liberaret; ideo sputis et colaphis dehonestatus, ideo mortem turpissimam passus est. Ne, quæso, hæc omnia inutilia reddamus, neque rursum ad pristinam redeamus impietatem, imo in longe graviorem : non enim æquale est creaturam colere, et ipsum Creatorem ad creaturarum vilitatem, quantum in nobis est, deprimere. *Psal.* 101. 28. Nam ipse manet qualis est, *Tu autem idem ipse es*, inquit, *et anni tui non deficient.* Glorificemus igitur eum, sicut accepimus a patribus : glo- *Dogmata non prosunt ad salutem, si vita sit corrupta.* rificemus eum et fide et operibus. Nihil enim nobis ad salutem prosunt dogmata pia, si vita sit corrupta. Quamobrem illam concinnemus ad Dei placitum, omni turpitudine, injustitia, avaritia longe abacta, tamquam hospites et advenæ, et a præsentibus longe alieni. Si divitias quis multas habeat et prædia, sic iis utatur, ut peregrinus qui paulo post velit nolit discessurus est. Si quis ab alio injuria læsus sit, ne immortaliter irascatur, imo ne aliquo quidem tempore : non plus enim *Ephes.* 4. 26. uno die nobis ad iram concessit apostolus : *Sol*, inquit, *non occidat super iracundiam vestram.* Et jure quidem : optandum quippe est, et vix caveri potest, ut ne in tam modico spatio quid molestum accidat. Si autem nox nos apprehendat, res graviores evadunt, memoria ingentem nobis ignem colligente, nobisque per temporis spatium hæc acerbius scrutantibus. Antequam ergo otium hujusmodi occupemus, et vehementiorem accendamus rogum, jubet malum prævertere, et ex- *Ira celeriter exstinguenda.* stinguere. Vehemens quippe est iræ motus, omnique flamma acutius. Ideo celeritate multa nobis est opus, ut flammam prævertamus, nec sinamus assurgere. Hic quippe morbus multorum causa malorum efficitur. Domos enim totas evertit, veteres solvit consuetudines, non consolabiles tragœdias brevi tempore ac momento parit. Nam *Eccli.* 1. 22. *Momentum furoris ejus, ruina ejus*, inquit. Ne itaque feram hanc sine freno sinamus, sed camum ipsi undique fortissimum, futuri judicii metum,

B Μὴ δὴ συγχέωμεν τὴν κτίσιν μετὰ τοῦ κτίσαντος, ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν, ὅτι Ἐσεβάσθησαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. Εἰ γὰρ καὶ περὶ οὐρανῶν λέγοιεν τοῦτο εἰρῆσθαι, ἀλλ' ὅμως ἐν τῷ περὶ τούτων λόγῳ παντελῶς ἀπεῖπε τὸ μὴ δεῖν κτίσει λατρεύειν, ὡς Ἑλληνικὸν ὄν.

Μὴ τοίνυν ταύτῃ [b] ὑποβάλωμεν αὐτοὺς τῇ ἀρᾷ. Διὰ τοῦτο ἦλθεν ὁ τοῦ Θεοῦ Υἱὸς, ἵνα ταύτης ἡμᾶς ἀπαλλάξῃ τῆς λατρείας· διὰ τοῦτο δούλου μορφὴν ἔλαβεν, ἵνα τῆς δουλείας ἐλευθερώσῃ ταύτης· διὰ τοῦτο ἐνεπτύσθη, διὰ τοῦτο ἐῤῥαπίσθη, διὰ τοῦτο θάνατον C ὑπέμεινε τὸν ἐπονείδιστον. Μὴ δὴ ταῦτα πάντα ἀνόνητα ποιῶμεν, μηδὲ πάλιν ἐπὶ τὴν προτέραν ἐπανερχώμεθα ἀσέβειαν, μᾶλλον δὲ ἐπὶ πολλῷ χαλεπωτέραν. Οὐ γάρ ἐστιν ἴσον τῇ κτίσει λατρεύειν, καὶ αὐτὸν τὸν δημιουργὸν εἰς κτίσεως κατάγειν εὐτέλειαν, τό γε εἰς ἡμᾶς ἧκον. Αὐτὸς γὰρ μένει τοιοῦτος ὢν οἷός ἐστι. Σὺ γὰρ ὁ αὐτὸς εἶ, φησὶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Δοξάζωμεν οὖν αὐτὸν, ὥσπερ παρελάβομεν παρὰ τῶν πατέρων· δοξάζωμεν αὐτὸν, καὶ διὰ πίστεως καὶ δι' ἔργων. Οὐδὲν γὰρ ὄφελος ἡμῖν εἰς σωτηρίαν δογμάτων ὑγιῶν, διεφθαρμένης ἡμῖν τῆς ζωῆς. D Διὸ ῥυθμίσωμεν αὐτὴν πρὸς τὸ τῷ Θεῷ δοκοῦν, αἰσχρότητος ἁπάσης, ἀδικίας, πλεονεξίας πόῤῥω καθιστῶντες ἑαυτοὺς, ὡς ξένοι καὶ παρεπίδημοι, καὶ τῶν ἐνταῦθα ἀλλότριοι. Κἂν χρήματά τις ἔχῃ πολλὰ καὶ κτήματα, οὕτως αὐτοῖς κεχρήσθω, ὡς πάροικος καὶ μικρὸν ὕστερον αὐτῶν ἀποστησόμενος καὶ ἑκὼν καὶ ἄκων. Κἂν ἠδικημένος τις ᾖ παρά τινος, μὴ ἀθάνατα ὀργιζέσθω, μᾶλλον δὲ μηδὲ πρόσκαιρα. Μιᾶς γὰρ ἡμῖν πλέον οὐκ ἔδωκεν ὁ ἀπόστολος ἡμέρας τῇ ὀργῇ καταχρήσασθαι· Ὁ ἥλιος γὰρ, φησὶ, μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. Καὶ εἰκότως· ἀγαπητὸν γὰρ καὶ ἐν οὕτω βραχεῖ καιρῷ μηδὲν γενέσθαι ἀηδές. Εἰ δὲ καὶ ἡ E νὺξ καταλάβοι, δεινότερα γίνεται τὰ γεγενημένα, μυρίου πυρὸς ἀπὸ τῆς μνήμης ἡμῖν συλλεγομένου, καὶ κατὰ σχολὴν πικρότερον ἡμῶν ἐξεταζόντων αὐτά. Πρὶν οὖν τῆς ὀλεθρίας ταύτης ἐπιλαβέσθαι σχολῆς καὶ σφοδροτέραν ἀνάψαι τὴν πυρὰν, κελεύει προκαταλαμβάνειν καὶ σβεννύναι τὸ δεινόν. Ὀξὺ γὰρ τὸ πάθος ἐστὶ τῆς ὀργῆς, καὶ φλογὸς ἁπάσης ὀξύτερον. Διὸ πολλοῦ δεῖ τοῦ τάχους ἡμῖν εἰς τὸ προκαταλαβεῖν τὴν φλόγα, 32 A καὶ μὴ συγχωρῆσαι πρὸς ὕψος ἀρθῆναι. Καὶ γὰρ πολλῶν οὕτως αἴτιον γίνεται κακῶν τὸ νόσημα τοῦτο. Οἰκίας γοῦν ὁλοκλήρους ἀνέτρεψε, καὶ συνηθείας ἀρχαίας διέλυσε, καὶ τραγῳδίας [a] ἀπαραμυθήτους εἰργάσατο ἐν βραχεῖ καὶ ἀκαριαίῳ χρόνῳ. Ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ, πτῶσις αὐτῷ, φησί. Μὴ τοίνυν ἀχαλίνωτον ἐῶμεν τὸ θηρίον, ἀλλὰ κημὸν αὐτῷ πάντοθεν

[b] Alii ὑποβάλλωμεν.

[a] Savil. et omnes pene Mss. ἀπαραμυθήτους. Morel. ἀμυθήτους.

σφοδρὸν, τοῦ δικαστηρίου τοῦ μέλλοντος τὸν φόβον, ἐμβάλλωμεν. Ὅταν σε λυπήσῃ φίλος ἢ καὶ παροξύνῃ τις τῶν οἰκείων, ἐννόησον τὰ ἡμαρτημένα σοι εἰς Θεὸν, καὶ ὅτι τῇ πρὸς ἐκεῖνον ἐπιεικείᾳ πραότερον σαυτῷ καθιστᾷς τὸ δικαστήριον ἐκεῖνο· Ἄφετε γὰρ, φησὶ, B καὶ ἀφεθήσεται ὑμῖν· καὶ ταχέως δραπετεύσει τὸ πάθος. Πρὸς τούτοις κἀκεῖνο σκόπησον, εἴποτε εἰς ἀγριότητα ἐξενεχθεὶς ἐκράτησας σαυτοῦ, καὶ εἴποτε παρεσύρης ὑπὸ τοῦ πάθους, καὶ ἀμφοτέρους παράβαλε τοὺς καιροὺς, καὶ ἐντεῦθεν πολλὴν λήψῃ διόρθωσιν. Εἰπὲ γάρ μοι· πότε σαυτὸν ἐπῄνεσας, ἡνίκα ἡττήθης, ἢ ὅτε ἐκράτησας; Οὐχὶ τότε [b] σφοδρῶς μὲν ἐγκαλοῦμεν ἑαυτοῖς καὶ αἰσχυνόμεθα, καὶ μηδενὸς ἐλέγχοντος ἡμᾶς, καὶ πολὺ τὸ τῆς μετανοίας ἡμῖν ἐπεισέρχεται καὶ ῥημάτων ἕνεκεν καὶ πραγμάτων; ὅταν δὲ περιγενώμεθα, καὶ τρυφῶμεν καὶ γαυρούμεθα, ὡς νενικηκότες; Νίκη γὰρ ἐπὶ τῆς ὀργῆς, οὐ τὸ τοῖς ἴσοις ἀμύνασθαι (ἐσχάτη γὰρ αὕτη ἧττά ἐστιν), ἀλλὰ τὸ C πράως ἐνεγκεῖν παθόντα κακῶς καὶ ἀκούσαντα. Τοῦτο γάρ ἐστι τὸ πλέον σχεῖν, οὐ τὸ ποιῆσαι, ἀλλὰ τὸ παθεῖν κακῶς. Μὴ τοίνυν λέγε ὀργιζόμενος, πάντως ἀνταναιρῶ κἀγὼ, πάντως ἐπεξελεύσομαι· μηδὲ πρὸς τοὺς παραινοῦντας νικᾷν ἀντίτεινε λέγων, οὐκ ἀνέξομαι, ἵνα μου καταγελάσας ὁ δεῖνα ἀπέλθῃ. Οὐ γὰρ δή ποτέ σου καταγελάσεται, ἀλλ' ὅταν ἐπεξέλθῃς· εἰ δὲ καὶ τότε καταγελάσεται, ὡς ἀνόητος τοῦτο πείσεται. Σὺ δὲ μὴ ζήτει νικῶν τὴν παρὰ τῶν ἀνοήτων δόξαν, ἀλλ' ἀποχρῶσαν νόμιζε [c] αὐτὴν ἔχειν παρὰ τῶν νοῦν ἐχόντων. Ἀλλὰ γὰρ τί σοι μικρὸν καὶ ταπεινὸν καθίζω D θέατρον, ἐξ ἀνθρώπων αὐτὸ συντιθείς; Πρὸς τὸν Θεὸν εὐθέως ἀνάβλεψον, κἀκεῖνός σε ἐπαινέσεται. Τὸν δὲ παρ' ἐκείνου θαυμαζόμενον οὐ δεῖ παρὰ τῶν ἀνθρώπων τιμὴν ἐπιζητεῖν. Ἡ μὲν γὰρ καὶ πρὸς χάριν πολλάκις, καὶ πρὸς ἀπέχθειαν ἑτέρων γίνεται, καὶ κέρδος ἤνεγκεν οὐδέν· [d] ἡ δὲ παρὰ τοῦ Θεοῦ ψῆφος ταύτης ἀπήλλακται τῆς ἀνωμαλίας, καὶ πολλὴν φέρει τῷ θαυμαζομένῳ τὴν ὠφέλειαν. Τοῦτον οὖν τὸν ἔπαινον διώκωμεν.

Βούλει μαθεῖν πόσον τὸ ὀργίζεσθαι κακόν; Παράστηθι E μαχομένοις ἐν ἀγορᾷ ἑτέροις. Ἐν γὰρ σαυτῷ τὴν ἀσχημοσύνην οὐ δυνήσῃ ῥᾳδίως ἰδεῖν, ἐσκοτωμένῳ καὶ μεθύοντι τῷ λογισμῷ· ἀλλ' ὅταν καθαρεύσῃς τοῦ πάθους, τότε ἐν ἄλλοις θεώρει τὰ σὰ, τῆς κρίσεώς σοι μὴ [e] διεφθαρμένης. Θέα δέ μοι τοὺς περιῤῥέοντας 33 A ὄχλους, τοὺς θυμουμένους, καθάπερ μαινομένους εἰς τὸ μέσον ἀσχημονοῦντας. Ὅταν γὰρ περὶ

injiciamus. Cum te amicus læserit, aut familiaris concitaverit, cogita quanta erga Deum peccaveris, et perpende te si moderatius cum illos agas, mitius tibi judicium illud constituere. Nam ait, *Dimittite, et dimittetur vobis;* Luc. 6. 37. statimque morbus aufugiet. Ad hæc consideres velim, num aliquando in furorem actus, te continueris; et num aliquando etiam ab ira abreptus fueris: utrorumque comparatione temporum, ad emendationem valde juvaberis. Dic enim mihi, quandonam teipsum laudasti, cum ab ira superatus es, an cum superasti? Annon cum primum accidit, nos vehementer incusamus, erubescimus, etiam nemine arguente, ac multa nos et verborum et gestorum subit pœnitentia? cum autem superamus, gaudemus, et quasi victores exsultamus? Victoria enim contra iram est, non cum par pari referimus (hæc quippe extrema clades est), sed cum æquo animo omnia patimur et audimus. Hoc quippe est superiorem esse, non mala inferre, sed mala pati. Cum irasceris igitur, ne dicas: Prorsus obsistam ego, prorsus irruam in illum: neque monentibus ut iram cohibeas dixeris: Non patiar ut postquam ille mihi illuserit, impune abeat. Neque enim te unquam irridebit, nisi quando ad vindictam te contuleris: sin te quiescente irriserit, ut stultus id aget. Tu vero cum viceris, ne quæras gloriam a stultis, sed ea contentus esto, quam a sapientibus assequeris. Imo vero cur tibi parvum illud ac vile theatrum hominum constituo? Ad Deum statim respice, et ipse te laudabit: quo laudante nemo debet ab hominibus gloriam quærere. Hominum quippe laudes plerumque vel ex gratia prodeunt, vel ex odio negantur; nihilque lucri afferunt: Dei vero judicium hac inæquabilitate vacat, multamque laudato affert utilitatem. Hanc igitur laudem sequamur.

Laudes hominum vel ex gratia prodeunt vel ex odio negantur.

5. Visne discere quantum sit malum ira? Præsens esto dum alii rixantur in foro. Neque enim in teipso turpitudinem illam tam facile deprehendes, animo nempe tunc tenebris et ebrietate obvoluto: sed cum ira vacuus es, tunc in aliis tua contemplare; quando judicium tuum corruptum non est. Vide mihi turbam circumfluentem, et iratos, ac si furerent, in medio turpiter agentes.

[b] Morel. σφοδρῶς καὶ ἐγκαλοῦμεν, male.

[c] Savil. αὐτὴν παρά. Morel. αὐτὴν ἔχειν παρά. Paulo post idem αὐτῷ συντιθείς. Savil. αὐτή. Infra τὸν δὲ παρ' ἐκείνου θαυμαζόμενον vertimus, *quo laudante;* nam θαυμάζειν sæpe significat *laudare, laudibus celebrare,* ut monuimus in Onomastico ad Athanasii Opera, et exemplis confirmavimus.

[d] Savil. ἡ δὲ τοῦ θεοῦ.

[e] Sic Savil. et Mss. Morel. vero διεφθαρμένης· ὄψει γὰρ τοὺς θυμουμένους.

Iracundi imago.

Cum enim ira in pectore effervescit et efferatur, os ignem spirat, oculi ignem emittunt, inflatur undique vultus, incomposite manus jactantur, ridicule pedes exsiliunt, et insultant litem dirimere conantibus; nihil irati differunt a furentibus, cum hæc omnia nullo præditi sensu peragunt; imo ne ab asinis agrestibus, calcitrantes, mordentes. Sane vir iracundus modeste agere nescit. Deinde post tantum excitatum risum, ubi domum redierint, ad se reversi, dolore simul ac metu agitantur; animo volventes, quinam rixæ præsentes fuerint. Postquam enim ceu furentes de spectantibus nihil cogitaverant, resipiscentes postea secum reputant, num amici, num inimici spectatores fuerint. Nam perinde utrosque metuunt; illos, ut se improbantes majoremque inferentes pudorem; hos, ut de sua turpitudine gaudentes. Quod si ad plagas usque mutuas rixa proruperit, tum metus gravior, ne quid deterius verberato accidat, ne subsequens febris mortem inferat, vel tumor curatu difficilis in extremum periculum conjiciat. Quid enim mihi pugna opus erat? quid contumeliis et rixis? pereant et hæc et illa. Tuncque omnibus hisce fluxis rebus maledicunt, quæ rixandi causa fuere.

Contra eos qui superstitiose tempora observant.

Insipientiores vero et malignos dæmonas, et horam tempusque criminantur. Verum non hora mala in causa est; nulla quippe hora mala: neque hæc a maligno dæmone proficiscuntur, sed ex nequitia rixantium. Hi namque et dæmonas attrahunt, et sibi ipsis mala inferunt. Sed cor intumescit, inquies, et a contumeliis mordetur? Id et ego novi: ideoque miror eos qui malam hanc feram coercent. Si enim velimus, possumus morbum depellere. Cur enim cum principes viri nos contumelia afficiunt, id non agimus? nonne quia timor, non minor quam ira, nos deterret, nec vel a principio iram erumpere sinit? Cur porro servi a nobis mille contumeliis onerati, omnia taciti ferunt? nonne quia et ipsi eodem vinculo ligantur? Tu vero ne solum Dei timorem cogites, sed etiam te tunc a Deo contumeliis affici, qui jubet te tacere, et omnia patienter feres. Dic te lacessenti: Quid faciam tibi; alius mihi et manum et linguam cohibet: eritque dictum illud, et tibi et ipsi philosophiæ materia. Nunc autem hominum gratia etiam intolerabilia ferimus, et iis qui nos lacessunt sæpe di-

τὸ στῆθος ὁ θυμὸς ζέσας * διανιστῆται καὶ ἀγριαίνῃ, πῦρ πνέει τὸ στόμα, πῦρ ἀφιᾶσιν οἱ ὀφθαλμοί, οἰδεῖ πάντοθεν ἡ ὄψις, ἀτάκτως αἱ χεῖρες ἐκτείνονται, καταγελάστως πηδῶσιν οἱ πόδες καὶ ἐνάλλονται τοῖς κατέχουσι, καὶ μαινομένων οὐδὲν διεστήκασι πρὸς ταῦτα πάντα ἀναισθητοῦντες, ἀλλ' οὐδὲ τῶν ἀγρίων ὄνων, λακτίζοντες, δάκνοντες. Ὄντως ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. Εἶτα, μετὰ τὸν πολὺν γέλωτα τοῦτον, ἀναχωρήσαντες οἴκαδε, καὶ πρὸς ἑαυτοὺς ἐπανελθόντες, μείζονα ἔχουσι τὴν ὀδύνην καὶ πολὺ τὸ δέος, ἐν-
B νοοῦντες ἄρα τίνες οἱ παρόντες ἦσαν ἡνίκα ὠργίζοντο. Καθάπερ γὰρ οἱ παραπαίοντες τοὺς παρόντας [a] ἀγνοοῦντες, ὅταν σωφρονήσωσι, τότε ταῦτα λογίζονται, ἄρα μὴ φίλοι, ἄρα μὴ πολέμιοι καὶ ἐχθροὶ οἱ θεασάμενοι; Καὶ γὰρ ὁμοίως ὑπὲρ ἀμφοτέρων δεδοίκασι· τῶν μὲν, ὡς καταγνωσομένων καὶ μείζονα ποιησόντων τὴν αἰσχύνην· τῶν δὲ, ὡς ἐφησθησομένων. Ἂν δὲ καὶ πληγὰς τείναντες [b] τύχωσιν ἀλλήλοις, χαλεπώτερον τὸ δέος, οἷον μή τι τῶν χαλεπωτάτων συμβαίη περὶ τὸν παθόντα, ἢ πυρετὸς ἀκολουθήσας ἐπενέγκοι θάνατον, ἢ οἴδημα ἀναστὰν δυσίατον εἰς τὸν περὶ τῶν ἐσχάτων
C καταστήσῃ κίνδυνον. Καὶ, τί γάρ μοι μάχης ἔδει; τί δὲ ὕβρεων καὶ φιλονεικίας; ἀπόλοιτο τὰ καὶ τά. Καὶ πᾶσι καταρῶνται τοῖς πράγμασι λοιπὸν τοῖς ἐπιχήροις τούτοις, καὶ παρασχοῦσιν αὐτοῖς τὴν ἀρχήν. Οἱ δὲ ἀλογώτεροι καὶ δαίμονας πονηροὺς καὶ ὥραν αἰτιῶνται κακὴν τῶν γεγενημένων. Ἀλλ' οὐκ ἔστιν ὥρας κακῆς· οὐδὲ γάρ ἐστιν ὥρα κακή ποτε· οὐδὲ δαίμονος ταῦτα πονηροῦ, ἀλλὰ τῆς πονηρίας τῶν ἑαλωκότων. Οὗτοι γὰρ καὶ τοὺς δαίμονας ἐπισπῶνται, καὶ πάντα ἑαυτοῖς ἐπάγουσι τὰ δεινά. Ἀλλ' οἰδαίνει, φησὶν, ἡ καρδία, καὶ ταῖς ὕβρεσι δάκνεται; Οἶδα κἀγώ· διὰ γὰρ τοῦτο τοὺς κρατοῦντας τοῦ δεινοῦ τούτου θηρίου
D θαυμάζω. Ἂν γὰρ θέλωμεν, δυνατὸν διακρούσασθαι τὸ πάθος. Διατί γὰρ, ἀρχόντων ἡμᾶς ὑβριζόντων, τοῦτο μὴ πάσχομεν; [c] ἆρ' οὐχ ὅτι φόβος ἀντίῤῥοπος ἕστηκε τοῦ πάθους, ἡμᾶς ἐκδειματῶν, καὶ οὐδὲ φῦναι τὴν ἀρχὴν συγχωρῶν; Διὰ τί δὲ καὶ οἱ οἰκέται παρ' ἡμῶν ὑβριζόμενοι μυρία, σιγῇ πάντα φέρουσιν; [d] ἆρ' οὐχ ὅτι καὶ αὐτοὶ τὸν αὐτὸν αὐτοῖς ἐπικείμενον ἔχουσι δεσμόν; Σὺ δὲ μὴ μόνον ἐννοήσῃς τὸν παρὰ τοῦ Θεοῦ φόβον, ἀλλ' ὅτι σε καὶ αὐτὸς ὁ Θεὸς ὑβρίζει τότε, ὁ κελεύων σιγᾷν, καὶ πάντα οἴσεις πρᾴως. Καὶ εἰπὲ πρὸς τὸν ἐπι-
E όντα· τί σοι πάθω; ἄλλος μου κατέχει καὶ τὴν δεξιὰν καὶ τὴν γλῶτταν· καὶ γενήσεται καὶ σοὶ κἀκείνῳ φιλοσοφίας ὑπόθεσις τὸ ῥῆμα. Νῦν δὲ ἀνθρώπων μὲν ἕνεκεν καὶ τὰ ἀφόρητα φέρομεν, καὶ πρὸς τοὺς ὑβρι-

* [διανιστᾶται Savil.]

[a] [Savil. et Codd. 705, 706 ἠγνόουν, ἀλλ' ὅταν...]

[b] Quidam ἐντύχωσιν. [Infra Savil. καταστήσεις.]

[c] ἆρ' οὐχ post πάσχομεν legitur in Morel. Sed a Savil. et Mss. plurimis abest.

[d] ἆρ' οὐχ ut supra legitur in Morel. Secus in Savil. et Mss.; sed utrovis modo legas perinde quadrat, et Interpres vetus ἆρ' οὐχ legerat.

χότας λέγομεν πολλάκις· ὁ δεῖνά με ὕβρισεν, οὐ σύ· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲ ταύτην ἕξομεν τὴν εὐλάβειαν; Καὶ ποία ἡμῖν ἔσται συγγνώμη; Εἴπωμεν καὶ πρὸς τὴν ἡμετέραν ψυχήν· ὁ Θεὸς ἡμᾶς ὑβρίζει νῦν, ὁ κα- 34 τέχων ἡμῶν τὰς χεῖρας· μὴ σκιρτῶμεν, μηδὲ ἔστω ὁ A Θεὸς ἀνθρώπων ἀτιμότερος ἡμῖν. Ἐφρίξατε πρὸς τὸ ῥῆμα; Ἀλλ' οὐχὶ πρὸς τὰ ῥήματα βούλομαι μόνον, ἀλλὰ καὶ πρὸς τὴν πρᾶξιν φρίττειν [a] ὑμᾶς. Ἐκέλευσε γὰρ ὁ Θεὸς ῥαπιζομένους μὴ μόνον φέρειν, ἀλλὰ καὶ παρέχειν ἑαυτοὺς πρὸς τὸ χεῖρόν τι παθεῖν. Ἡμεῖς δὲ μετὰ τοσαύτης σφοδρότητος ἐναντιούμεθα, ὡς μὴ μόνον μὴ παρέχειν ἑαυτοὺς εἰς τὸ κακῶς παθεῖν, ἀλλὰ καὶ [b] ἀμύνασθαι, πολλάκις δὲ καὶ ἄρχειν χειρῶν ἀδίκων, καὶ ἐλαττοῦσθαι νομίζειν, ἂν μὴ πράξωμεν τὰ αὐτά. Καὶ γὰρ τὸ δεινὸν τοῦτό ἐστιν, ὅτι καὶ νικᾷν οἰόμεθα, τὴν ἐσχάτην ἧτταν ἡττώμενοι καὶ κείμενοι κάτω, καὶ B μυρίας δεχόμενοι πληγὰς παρὰ τοῦ διαβόλου, κρατεῖν αὐτοῦ νομίζομεν. Διὸ, παρακαλῶ, μάθωμεν τίς τῆς νίκης ταύτης ὁ τρόπος, καὶ τοῦτο μετίωμεν τοῦ τρόπου τὸ εἶδος. Τὸ γὰρ παθεῖν κακῶς, τοῦτό ἐστι τὸ στεφανοῦσθαι. Εἰ τοίνυν βουλόμεθα καὶ ἡμεῖς ἀναῤῥηθῆναι παρὰ τοῦ Θεοῦ, μὴ τὸν τῶν ἔξωθεν ἀγώνων, ἀλλὰ τὸν παρὰ τοῦ Θεοῦ νόμον φυλάττωμεν ἐν τοῖς παλαίσμασι τούτοις, [c] καὶ τὸ πάντα φέρειν μετὰ μακροθυμίας. Οὕτω γὰρ καὶ τῶν παλαιόντων περιγινώμεθα, καὶ τῶν ἐνταῦθα, καὶ τῶν ἐπηγγελμένων ἐπιτύχωμεν ἀγα- C θῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

cimus : Ille me lacessivit, non tu : Deo autem ne parem quidem reverentiam exhibebimus? Ecqua nobis erit venia? Animæ nostræ dicamus : Deus nos nunc lacessit, qui manus nostras cohibet : ne insiliamus, nec minore Deum quam homines obsequentia prosequamur. Ad hoc verbum exhorruistis? Sed non tantum ad verba, sed etiam ad opus vos exhorrescere cupio. Jussit Deus nos colaphis cæsos, non modo ferre, sed etiam ad pejus quidpiam patiendum nos offerre. Nos autem cum tanta violentia obsistimus, ut non modo nos ad male patiendum non offeramus, sed etiam nos ulciscamur; imo sæpe priores manus inferamus, nosque vinci putemus, nisi paribus afficiamus. Nam illud gravius est quod nos vincere existimemus, quando extrema clade afficimur, et humi prostrati jacemus; ac mille acceptis a diabolo vulneribus, de illo victoriam reportasse credamus. Quamobrem, rogo, discamus qui sit hujus victoriæ modus, et hanc morum speciem adeamus. Siquidem male pati, idipsum est quod coronari. Si ergo volumus nos a Deo victores proclamari, in his certaminibus ne legem sæcularium agonum servemus, sed legem a Deo pro his certaminibus positam, ut omnia æquo animo feramus. Ita enim et adversarios et præsentia omnia superabimus, et promissa consequemur bona, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri, simulque Spiritui sancto, gloria, imperium, honor, nunc et semper, et in sæcula sæculorum. Amen.

[a] ὑμᾶς, alii ἡμᾶς.
[b] Morel. [et Codd. 705, 706] ἀμύνεσθαι.
[c] Savil. et Mss. quidam καὶ τὸ πάντα, Morel. καὶ τῷ.

[Mox Savil. et Codd. 705, 706 τύχωμεν pro ἐπιτύχωμεν. Iidem recte περιγενώμεθα.]

ΟΜΙΛΙΑ ε'.

Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν.

Μωϋσῆς μὲν ἀρχόμενος τῆς ἱστορίας καὶ τῆς συγγραφῆς τῆς ἐν τῇ Παλαιᾷ, περὶ τῶν αἰσθητῶν ἡμῖν διαλέγεται, καὶ ταῦτα ἀπαριθμεῖται διὰ πολλῶν· Ἐν D ἀρχῇ γὰρ, φησὶν, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· εἶτα ἐπάγει ὅτι καὶ φῶς ἐγένετο, * καὶ δεύτερος οὐρανὸς, καὶ ἀστέρων φύσις, καὶ παντοδαπὰ γένη ζώων, καὶ τὰ ἄλλα πάντα, ἵνα μὴ καθ' ἕκαστον ἐπε-

HOMILIA V.

Cap. I. v. 3. *Omnia per ipsum facta sunt, et sine ipso factum est nihil quod factum est.*

1. Moyses historiam Veteris Testamenti a sensilibus nobis orditur, et ea pluribus enumerat : nam ait, *In principio fecit Deus cælum et terram* : Gen. 1. 1. deinde adjicit lucem factam, secundum cælum, stellarum naturam, omnigena animalium genera, ne singula prosequentes longiores simus. Hic autem evangelista uno verbo complectitur

* καὶ δεύτερος οὐρανὸς, *secundum cælum*, id est, firmamentum.

omnia, et illa nempe et illis superiora. Et jure certe, quia illa auditoribus nota sunt, et ipse ad præstantius argumentum properat, ac totum opus aggreditur, non de operibus, sed de Opifice et Creatore dicturus. Ideo Moyses quidem, etsi minorem creationis partem aggrediatur (nihil enim nobis de invisibilibus potestatibus narravit), in illis versatur : hic vero, qui ad ipsum Creatorem ascendere festinat, jure omnia prætercurrit, et hæc quæ ille dixit, et ea quæ ipse tacuit, paucis complectitur, ***Omnia per ipsum facta sunt.*** Ne vero putes ipsum ea tantum memorare quæ Moyses narravit, subjungit, ***Et sine ipso factum est nihil quod factum :*** hoc est, Ex rebus factis, sive sub aspectum, sive sub intellectum tantum cadant, nihil sine Filii virtute productum est. Neque enim punctum apponemus post illud, ***Nihil,*** ut hæretici faciunt. Illi enim cum velint Spiritum creatum esse, ita legunt : ***Quod factum est, in ipso vita erat.*** At sic hæc nullo modo intelligi poterunt. Primo enim hic non opportuna Spiritus mentio esset : quod si tandem id voluisset, cur tam obscure loquutus esset? unde enim constat hoc de Spiritu dictum esse? Alioquin autem secundum hanc seriem comperiemus, non Spiritum, sed ipsum Filium per seipsum factum esse. Verum attendite, ne vos hoc dictum effugiat; et age interim ad illorum morem legamus : hoc pacto enim manifestior erit absurditas : ***Quod factum est, in ipso vita erat.*** Vitam hic Spiritum significare dicunt. Sed vita etiam lux appellata hic occurrit; subjicit enim, ***Et vita erat lux hominum.*** Secundum illos ergo lucem hominum hic Spiritum dicit. Quid igitur? Cum subdit, ***Fuit homo missus a Deo, ut testimonium perhiberet de lumine,*** necesse est ut dicant, hoc etiam de Spiritu proferri. Eum enim quem supra Verbum dixit, in sequentibus Deum, vitam, et lucem nominat. ***Vita erat,*** inquit, hoc Verbum, et hæc ipsa vita lux erat. Si itaque Verbum vita erat; Verbum autem, quod est vita, caro factum est: vita caro facta est, hoc est, Verbum; et ejus gloriam vidimus, quasi Unigeniti a Patre. Si ergo dicant Spiritum hic vitam vocari, vide quanta absurda sequantur. Spiritus enim incarnatus fuerit, non

Hæretici punctum apponebant post illud, *Sine ipso factum est nihil.*

ξιόντες παρέλκωμεν. Ὁ δὲ εὐαγγελιστὴς οὗτος, ἅπαντα συντεμὼν, ἐν ῥήματι [d] περιλαμβάνει ἐκεῖνά τε καὶ τὰ ἐκείνων ἀνώτερα· εἰκότως, ἅτε καὶ γνώριμα ὄντα τοῖς ἀκούουσι, καὶ ἐπὶ μείζονα ἐπειγόμενος ὑπόθεσιν, καὶ πᾶσαν τὴν πραγματείαν ἐνστησάμενος, οὐ περὶ τῶν ἔργων, ἀλλὰ περὶ τοῦ δημιουργοῦ καὶ πάντα [e] παραγαγόντος εἰπεῖν. Διά τοι τοῦτο ἐκεῖνος μὲν, καίτοι E γε τὸ ἔλαττον μέρος τῆς κτίσεως ἀπολαβὼν (οὐδὲν γὰρ ἡμῖν περὶ τῶν ἀοράτων διελέχθη δυνάμεων), τούτοις ἐνδιατρίβει· οὗτος δὲ, ἅτε πρὸς αὐτὸν σπεύδων τὸν ποιητὴν ἀνελθεῖν, εἰκότως ἅπαντα παρατρέχει, καὶ ταῦτα καὶ τὰ ἐκείνῳ σεσιγημένα, ἑνὶ καὶ βραχεῖ λόγῳ περιλαβὼν, τῷ, Πάντα δι' αὐτοῦ ἐγένετο. Καὶ ἵνα μὴ νομίσῃς πάντα ἐκεῖνα λέγειν μόνον αὐτὸν τὰ καὶ 35 Μωϋσεῖ εἰρημένα, ἐπάγει, ὅτι Καὶ χωρὶς αὐτοῦ ἐγέ- A νετο οὐδὲ ἓν ὃ γέγονε· τουτέστι, τῶν γενητῶν κἂν ὁρατόν τι ᾖ, κἂν νοητὸν, οὐδὲν χωρὶς τῆς τοῦ Υἱοῦ δυνάμεως εἰς τὸ εἶναι παρήχθη. Οὐ γὰρ δὴ τὴν τελείαν στιγμὴν τῷ, Οὐδὲ ἓν, ἐπιθήσομεν κατὰ τοὺς αἱρετικούς. Ἐκεῖνοι γὰρ βουλόμενοι τὸ Πνεῦμα κτιστὸν εἰπεῖν, φασίν· Ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν. Ἀλλ' οὕτως ἀπερινόητον γίνεται τὸ λεγόμενον. Πρῶτον μὲν γὰρ οὐδὲ καιρὸς ἦν ἐνταῦθα τοῦ Πνεύματος ἐπιμνησθῆναι· εἰ δὲ καὶ ἐβούλετο, τίνος ἕνεκεν οὕτως ἀσαφῶς αὐτὸ τέθεικε; [a] πόθεν γὰρ δῆλον, ὅτι περὶ τοῦ Πνεύματος τοῦτο εἴρηται; Ἄλλως δὲ εὑρήσομεν κατὰ τὸν λόγον τοῦτον, οὐ τὸ Πνεῦμα, ἀλλ' αὐτὸν τὸν Υἱὸν δι' ἑαυτοῦ γι- B νόμενον. Ἀλλὰ διανάστητε, ὥστε μὴ διαφυγεῖν ὑμᾶς τὸ λεγόμενον· καὶ φέρε κατὰ τὸν ἐκείνων τέως ἀναγνῶμεν τρόπον· οὕτω γὰρ ἡμῖν φανερώτερον τὸ ἄτοπον ἔσται· Ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν. Τὸ Πνεῦμά φασιν εἰρῆσθαι τὴν ζωήν. Ἀλλ' ἡ ζωὴ αὕτη καὶ φῶς εὑρίσκεται· ἐπάγει γὰρ, Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Οὐκοῦν κατ' αὐτοὺς τὸ φῶς τῶν ἀνθρώπων ἐνταῦθα τὸ Πνεῦμα λέγει. Τί οὖν; Ὅταν ἐπάγῃ καὶ λέγῃ, ὅτι Ἐγένετο ἄνθρωπος παρὰ τοῦ Θεοῦ ἀπεσταλμένος, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἀνάγκη περὶ τοῦ Πνεύματος αὐτοὺς λέγειν καὶ τοῦτο εἰρῆσθαι. Ὃν γὰρ ἄνω Λόγον εἶπε, τοῦτον προϊὼν καὶ Θεὸν, καὶ C ζωὴν, καὶ φῶς ὀνομάζει. Ζωὴ γὰρ ἦν, φησὶν, ὁ Λόγος οὗτος, καὶ ἡ ζωὴ αὕτη φῶς ἦν. Εἰ τοίνυν ὁ Λόγος ἡ ζωὴ, [*] ὁ δὲ Λόγος οὗτος καὶ ἡ ζωὴ σὰρξ ἐγένετο, ἡ ζωὴ ἐγένετο σὰρξ, τουτέστιν, ὁ Λόγος· καὶ αὐτῆς ἐθεασάμεθα τὴν δόξαν, ὡς Μονογενοῦς παρὰ Πατρός. Ἂν τοίνυν τὸ Πνεῦμα λέγωσιν ἐνταῦθα τὴν ζωὴν εἰρῆ-

[d] Alii *παραλαμβάνει*. [Ibid. Savil. et Codd. 705, 706 *ἐνὶ ῥήματι*.]

[e] Sic Savil. et Mss. Morel. vero *περιαγαγόντος*.

[a] Savil. et plurimi Mss. *πόθεν γὰρ δῆλον*. Morel. et alii *πόθεν δὲ δῆλον*.

[*] *ὁ δὲ λόγος οὗτος καὶ ζωὴ σὰρξ ἐγένετο, ἡ ζωὴ ἐγένετο σάρξ*. Putat Boisius illud *καὶ ἡ ζωὴ* ante hæc verba, *σὰρξ ἐγένετο*, delendum esse, nec lectum fuisse ab Interprete. Sed omuia exemplaria sic habent. [Codd. 705 et 706 *εἰ τοίνυν ὁ λόγος ἡ ζωὴ* (*ζωὴ* sine art. Savil. et Cod. 706), *ὁ δὲ λόγος οὗτος* (*καὶ* inser. Savil. et Cod. 706) *ἡ ζωὴ σὰρξ ἐγένετο, τουτέστιν ὁ λόγος*, omissis interpositis.]

σθαι, ὅρα πόσα ἕψεται τὰ ἄτοπα. Ἔσται γὰρ αὐτὸ σαρκωθὲν, οὐχ ὁ Υἱός· ἔσται μονογενὴς Υἱὸς τὸ Πνεῦμα. Εἰ δὲ μὴ τοῦτο, εἰς ἕτερον πάλιν ἀτοπώτατον τοῦτο φεύγοντες ἐμπεσοῦνται οὕτως ἀναγινώσκοντες. Εἰ γὰρ δὴ ὁμολογήσαιεν, ὅτι περὶ τοῦ Υἱοῦ εἴρηται, καὶ μὴ στίξαιεν μηδὲ ἀναγνοῖεν ὥσπερ ἡμεῖς, αὐτὸν ἀφ' ἑαυτοῦ τὸν Υἱὸν γεγενῆσθαι ἐροῦσιν. [b]Εἰ δὲ ἡ ζωὴ D
ὁ Λόγος, ὃ δὲ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν· αὐτὸς ἐν αὐτῷ καὶ δι' ἑαυτοῦ γέγονε κατὰ τὴν ἀνάγνωσιν ταύτην. Εἶτά τινα εἰπὼν ἐν τῷ μέσῳ ἐπήγαγε· Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός.[c] Ἰδοὺ καὶ μονογενὴς Υἱὸς εὑρίσκεται κατὰ τὴν ἀνάγνωσιν τῶν ταῦτα λεγόντων τὸ Πνεῦμα τὸ ἅγιον. Περὶ γὰρ αὐτοῦ πᾶσα αὐτῷ αὕτη ἡ διήγησις εἴρηται. Ὁρᾶτε ὅταν ἐκκυλισθῇ ὁ λόγος τῆς ἀληθείας, ποῦ παρατρέπεται, καὶ πόσα τίκτει τὰ ἄτοπα; Τί οὖν; οὐκ ἔστι τὸ E
Πνεῦμα φῶς, φησί; Ἔστι μὲν φῶς· ἀλλ' ἐνταῦθα οὐ περὶ τούτου εἴρηται· ἐπεὶ καὶ ὁ Θεὸς λέγεται Πνεῦμα, τουτέστιν, ἀσώματος· ἀλλ' οὐ πάντως εἴ που Πνεῦμα εἴρηται, ὁ Θεὸς δηλοῦται. Καὶ τί θαυμάζεις, εἰ περὶ τοῦ Πατρὸς τοῦτό φαμεν; Οὐδὲ γὰρ ἐπὶ τοῦ 36
Παρακλήτου τοῦτο εἴποιμεν ἄν· ὅτι* εἴ που Πνεῦμα, A
πάντως ὁ Παράκλητος δηλοῦται· καίτοι γε τοῦτο αὐτοῦ μάλιστα γνωριστικόν ἐστιν ὄνομα· ἀλλ' οὐ πάντως, εἴ που Πνεῦμα, ὁ Παράκλητος. Καὶ γὰρ καὶ ὁ Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία λέγεται, ἀλλ' οὐ πάντως, εἴ που Θεοῦ δύναμις καὶ σοφία, [a] ὁ Χριστός. Οὕτω δὴ καὶ ἐνταῦθα, εἰ καὶ φωτίζει τὸ Πνεῦμα, ὅμως νῦν οὐ περὶ αὐτοῦ φησιν ὁ εὐαγγελιστής. Ἀλλ' ὅταν αὐτοὺς τούτων ἀποκλείσωμεν * τῶν ἀτόπων, οἱ δὲ πάλιν πανταχοῦ σπουδάζοντες κατὰ τῆς ἀληθείας ἑστάναι, λέγουσιν, ἔτι τῆς αὐτῆς ἀναγνώσεως ἐχόμενοι· Ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ [b] ἦν. Του- B
τέστιν, ὃ γέγονε ζωὴ ἦν. Τί οὖν; Καὶ τὰ Σοδομηνῶν πάθη, καὶ ὁ κατακλυσμὸς καὶ ἡ γέεννα, καὶ μυρία ὅσα τοιαῦτα; Ἀλλὰ περὶ δημιουργίας ὁ λόγος ἡμῖν, φησί. Μάλιστα μὲν οὖν κἀκεῖνα δημιουργίας ἐστίν. Ἀλλ' ἵνα ἐκ περιουσίας τὸν λόγον αὐτῶν ἐλέγξωμεν, ἐρώμεθα αὐτούς· τὸ ξύλον, εἰπέ μοι, ζωή; καὶ ὁ λίθος, ζωὴ, τὰ ἄψυχα ταῦτα καὶ ἀκίνητα; ἀλλ' ὁ ἄνθρωπος ὅλον ζωή; Καὶ τίς ἂν τοῦτο εἴποι; Οὐ γὰρ αὐτοζωὴ ὁ ἄνθρωπος, ἀλλὰ ζωῆς δεκτικός.

Ὅρα δὲ πάλιν κἀνταῦθα τὸ ἄτοπον· κατὰ γὰρ τὴν αὐτὴν ἀκολουθίαν καὶ ἐνταῦθα τὸν λόγον προάξομεν,[c] ὥστε C

Filius: Spiritus erit unigenitus Filius. Si non ita res fuerit, dum hoc effugient, in aliud longe absurdius incident ita legentes. Nam si confiteantur illud de Filio dictum esse, neque interpungant, nec legant ut nos legimus, ipsum Filium a seipso factum esse dicant oportet. Si enim Verbum vita erat; si quod factum est, in ipso vita erat: ipsum in seipso et per seipsum factum est secundum hanc lectionem. Deinde quibusdam interpositis adjicit: *Et vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre.* Ecce secundum illorum qui ita loquuntur lectionem Spiritus sanctus, unigenitus esse Filius deprehenditur. De illo enim hæc omnis narratio instituitur. Videtisne, quando a veritate sermo aberrat, in quæ præcipitia abeat; et quot absurda pariat? Quid igitur? Spiritus, inquies, non est lux? Est quidem lux, verum hic non de illo agitur: quandoquidem et Deus Spiritus, hoc est, incorporeus; sed non ubicumque Spiritus dicitur, Deum esse declaratur. Et quid miraris, si id de Patre dicamus? Neque enim de Paracleto quoque id dixerimus, quod ubicumque Spiritus dicitur, id de Paracleto intelligatur: quamvis hoc nomen ipsi maxime competat: attamen ubi Spiritus legitur, non semper Paracletus est intelligendus. Nam et Christus Dei virtus et Dei sapientia vocatur; at non semper ubi Dei virtus et Dei sapientia dicitur, Christus indicatur. Sic et hoc loco, licet Spiritus illuminet, non tamen de ipso nunc loquitur evangelista. Attamen his exclusis absurdis ratiociniis, illi, qui semper veritati repugnant, dicere non desistunt: *Quod fa-* v. 14.
ctum est, in ipso vita erat; id est, Quod factum est vita erat. Quid igitur? an Sodomorum supplicium, diluvium, gehenna et mille res hujusmodi vita erant? Sed de creatione nobis est sermo, inquiunt. Certe illa quoque ad creationem pertinent. Verum ut aliunde etiam illorum sententiam validius confutemus, interrogabimus illos: Num quæso, lignum vita est? num lapis, inanima hæc et immobilia? an homo omnino vita est? Ecquis hoc dixerit? Non enim ipsa vita homo, sed vitæ capax homo est.

2. Vide rursum hic absurditatem: nam hanc sequemur dicendi seriem, ut hinc eorum insipien-

b [*εἰ γὰρ ζωὴ ὁ λόγος* Cod. 705; *εἰ γὰρ ἡ ζ. ὁ λ.* Cod. 706 et Savil.]

c Alii *ὁμοῦ καὶ μονογενής*.

* [*ὅπου* Savil. et Cod. 705.]

a Morel. *ὁ υἱός*. Savil. *ὁ Χριστός*. Ibid. Savil. et Mss. fere omnes *εἰ καὶ φωτίζει*. Morel. *εἰ καὶ φῶς*.

* [*τῶν ἀτοπωτάτων, πανταχοῦ οὗτοι σπουδάζοντες κ. τ. ἑ.* Cod. 706. *τῶν λόγων τῶν ἀτόπων πανταχοῦ σπουδάζοντες κ. τ. ἑ.* Cod. 705.]

b Morel. *ἦν. τοῦτ' ἔστιν ὃ γέγονε*. Savil. *ἦν, ὅτι εἴ τι ἐστὶν ὃ γέγονε*. [Codd. 705 et 706 *ἦν· ὅτι εἴ τι, φησὶ, γέγονε*.] Ibid. Morel. *οὐκοῦν*. Savil. *τί οὖν*.

c Alii *καὶ θέα μοι τὴν ἄνοιαν*. Paulo post existimat Boisius legendum *οὐδὲν ἁρμόττον*, sed *ἁρμόττοντα* in omnibus exemplaribus legitur, et bene habet.

vocati estis in societatem Filii ejus ; et rursum,
Ephes. 1. 1. *Per voluntatem ejus;* et alibi, *Quoniam ex*
Rom. 11. 36. *ipso, et per ipsum, et in ipsum omnia.* Itaque non uni Filio illud, *Ex quo,* sed etiam Spiritui
Matth. 1. 20. tribuitur. Etenim Josepho angelus dicebat : *Ne timeas accipere Mariam conjugem tuam : quod enim in ea natum est, ex Spiritu sancto est.* Quemadmodum et illud, *In quo,* quod Spiritus est, non recusat propheta Deo tribuere, dum ait :
Psal. 59. 14. *In Deo faciemus virtutem.* Et Paulus, *Obse-*
Rom. 1. 10. *crans,* ait, *si quomodo tandem aliquando prosperum iter habeam in voluntate Dei veniendi ad vos :* et iterum id de Christo dicit, *In Christo Jesu.* Hujuscemodi certe verba indiscriminatim accepta frequenter reperiemus : quod minime fieret, nisi ubique eadem substantia esset. Ne autem illud, *Omnia per ipsum facta sunt,* de signis putes nunc esse dictum : de iis enim reliqui evangelistæ verba fecerunt ; post hæc subdit : *In mundo erat et mundus per ipsum factus est :* non autem Spiritus, qui non ex numero opificiorum est, sed supra omnes omnino creaturas. Verum jam reliqua prosequamur. Cum de creatione loquens Joannes dixisset : *Omnia per ipsum facta sunt, et sine ipso factum est nihil quod factum est;* de providentia sermonem adjicit his verbis, *In ipso vita erat.* Ne quis enim incredulus dubitaret, quomodo tot tantaque per ipsum facta sint, subdidit : *In ipso vita erat.* Quemadmodum si ex fonte abyssos emittente aquam hauseris, quantumcumque haurias fontem nihil minues : ita de Unigeniti vi operandi putandum, quantacumque per ipsam facta credideris, numquam illa minuitur ; imo vero ut magis proprio utar exemplo, nempe lucis, de qua ille mox adjicit, *Et vita erat lux.* Quemadmodum ergo lux, quantacumque hominum millia illuminet, nihil splendoris amittit : sic quoque Deus et antequam operetur et post emissa opera, perinde integer manet, nec minuitur, neque ex operatione multa fatigatur ; sed etiamsi mille mundos similes creare oporteret, etiamsi infinitos, illis omnibus sufficeret, nec creandis modo, sed etiam post creationem servandis. Vitæ quippe nomen hic non ad creationem solum pertinet, sed et ad providentiam, qua res creatæ servantur et permanent. Etiamque resurrectionis doctrinam jam nobis fundare incipit, et ab admirandis hisce evangeliis orditur. Vita namque ad nos adveniente, solu-

ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ· καὶ πάλιν, Διὰ τοῦ θελήματος αὐτοῦ· καὶ ἀλλαχοῦ, Ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ [b] πάντα. Ὥστε οὐ τῷ Υἱῷ μόνῳ τὸ, Ἐξ οὗ, ἀλλὰ καὶ τῷ Πνεύματι προσνενέμηται. Καὶ γὰρ τῷ Ἰωσὴφ ὁ ἄγγελος ἔλεγε· Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ Πνεύματός ἐστιν ἁγίου· ὥσπερ οὖν καὶ τὸ, Ἐν ᾧ, τοῦ Πνεύματος ὃν, οὐκ ἀπαξιοῖ καὶ τῷ Θεῷ προσνέμειν ὁ προφήτης, οὕτω λέ-
C γων· Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν. Καὶ ὁ Παῦλος, Δεόμενος, φησὶν, εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. Καὶ ἐπὶ τοῦ Χριστοῦ δὲ πάλιν τοῦτο τίθησι λέγων, Ἐν Χριστῷ Ἰησοῦ. Καὶ ὅλως πολλάκις καὶ συνεχέστερον εὕροιμεν ἂν μεθισταμένας ταύτας τὰς λέξεις· ταῦτα δὲ οὐκ ἂν συνέβη μὴ πανταχοῦ τῆς αὐτῆς οὐσίας ὑποκειμένης. Ἵνα δὲ τὸ, Πάντα δι' αὐτοῦ ἐγένετο, μὴ περὶ τῶν σημείων ὑποπτεύσῃς νῦν λέγεσθαι· περὶ γὰρ τούτων οἱ λοιποὶ διελέχθησαν εὐαγγελισταί· ἐπάγει μετὰ ταῦτα λέγων· Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐ-
D τοῦ ἐγένετο· ἀλλ' οὐ τὸ Πνεῦμα· οὐδὲ γὰρ τῶν γενητῶν τοῦτο, ἀλλὰ τῶν ὑπὲρ τὴν κτίσιν ἅπασαν. Ἀλλὰ τέως ἐχώμεθα τῶν ἑξῆς. Εἰπὼν γὰρ περὶ τῆς δημιουργίας ὁ Ἰωάννης, οἷον, ὅτι Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν· ἐπάγει καὶ τὸν περὶ τῆς προνοίας λόγον, Ἐν αὐτῷ ζωὴ ἦν, λέγων. Καὶ γὰρ ἵνα μηδεὶς ἀπιστήσῃ, πῶς τὰ τοσαῦτα καὶ τηλικαῦτα δι' αὐτοῦ γέγονεν, ἐπήγαγεν, ὅτι Ἐν αὐτῷ ζωὴ ἦν. [c] Καθάπερ οὖν ἐπὶ τῆς πηγῆς τῆς τικτούσης ἀβύσσους, ὅσον ἂν ἀφέλῃς, οὐδὲν ἠλάττωσας τὴν πηγήν· οὕτω καὶ ἐπὶ τῆς ἐνεργείας τοῦ Μονογενοῦς, ὅσα ἂν πιστεύ-
E σῃς παρῆχθαι δι' αὐτῆς καὶ πεποιῆσθαι, οὐδὲν ἐλάττων αὕτη γέγονε· μᾶλλον δὲ, ἵν' οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, τὸ τοῦ φωτὸς ἐρῶ, ὃ καὶ αὐτὸς ἐπήγαγεν εὐθέως, εἰπών· Καὶ ἡ ζωὴ ἦν τὸ φῶς. Ὥσπερ οὖν τὸ φῶς, ὅσας ἂν φωτίσῃ μυριάδας, οὐδὲν εἰς τὴν οἰκείαν ἐλαττοῦται λαμπρότητα· οὕτω καὶ ὁ Θεὸς, καὶ πρὸ τοῦ ἐργάσασθαι, καὶ μετὰ τὸ ποιῆσαι, ὁμοίως ἀνελλιπὴς μένει, μηδὲν ἐλαττούμενος, μηδὲ ἀτονῶν
30 ἐκ τῆς δημιουργίας τῆς πολλῆς· ἀλλὰ κἂν μυρίους
A δέῃ γενέσθαι κόσμους τοιούτους, κἂν ἀπείρους, ὁ αὐτὸς μένει πᾶσιν ἀρκῶν, οὐ πρὸς τὸ παραγαγεῖν αὐτοὺς μόνον, ἀλλὰ καὶ πρὸς τὸ συγκρατῆσαι μετὰ τὴν δημιουργίαν αὐτούς. Τὸ γὰρ τῆς ζωῆς ὄνομα ἐνταῦθα οὐ τῆς δημιουργίας μόνον ἐστὶν, ἀλλὰ καὶ τῆς προνοίας τῆς κατὰ τὴν διαμονήν. Καὶ τὸν περὶ τῆς ἀναστάσεως δὲ λόγον προκαταβάλλεται ἡμῖν, καὶ τῶν θαυμαστῶν τούτων εὐαγγελίων ἄρχεται. Τῆς γὰρ ζωῆς παραγενομένης πρὸς ἡμᾶς, λέλυται τοῦ θανάτου τὸ

[b] Unus πάντα καὶ οὐ τῷ.
Morel. καθάπερ οὖν. Savil. καθάπερ γάρ. Mox Morel. [et Codd. 705, 706] ἀφέλῃς. Savil. ὑφέλῃς.

κράτος, καὶ τοῦ φωτὸς λάμψαντος ἡμῖν, οὐκ ἔτι τὸ
σκότος ἐστὶν, ἀλλὰ μένει διαπαντὸς ἐν ἡμῖν τὸ ζῆν,
καὶ θάνατος αὐτοῦ περιγενέσθαι οὐ δύναται. Ὥστε ὃ
περὶ τοῦ Πατρὸς εἴρηται, καὶ περὶ τούτου κυρίως ἂν
λεχθείη, ὅτι Ἐν αὐτῷ ζῶμεν, * καὶ κινούμεθα, καὶ B
ἐσμέν. Ὃ καὶ Παῦλος δηλῶν ἔλεγεν· Ὅτι ἐν αὐτῷ
ἐκτίσθη τὰ πάντα, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε.
Διὸ καὶ ῥίζα καὶ θεμέλιος εἴρηται. Ὅταν δὲ ἀκούσῃς,
ὅτι Ἐν αὐτῷ ζωὴ ἦν, μὴ σύνθετον ὑπολάβῃς· καὶ
γὰρ προϊὼν καὶ περὶ τοῦ Πατρός φησιν· Ὥσπερ ὁ
Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ
ζωὴν ἔχειν. Ἀλλ' ὥσπερ τὸν Πατέρα οὐκ ἂν εἴποις
διὰ τοῦτο συγκεῖσθαι, οὕτω μηδὲ τὸν Υἱόν. Καὶ γὰρ καὶ
ἀλλαχοῦ φησιν, ὅτι Φῶς ἐστιν ὁ Θεός· [a] καὶ πάλιν, ὅτι
Φῶς οἰκεῖ ἀπρόσιτον. Ταῦτα δὲ πάντα εἴρηται, οὐχ
ἵνα σύνθεσιν ὑπολάβωμεν, ἀλλ' ἵνα κατὰμικρὸν [b] ἀνα-
χθῶμεν πρὸς τὸ τῶν δογμάτων ὕψος. Ἐπειδὴ γὰρ οὐκ C
ἂν εὐκόλως ἐνόησέ τις τῶν πολλῶν, πῶς ἐστιν αὐτοῦ
ἐνυπόστατος ἡ ζωὴ, πρότερον μὲν ἐκεῖνο εἶπε τὸ τα-
πεινότερον, ἔπειτα δὲ παιδευθέντας πρὸς τὸ ὑψηλότε-
ρον ἄγει. Ὁ γὰρ εἰπὼν, ὅτι Ἔδωκεν αὐτῷ ζωὴν
ἔχειν, οὗτος πάλιν φησὶν, Ἐγώ εἰμι ἡ ζωή· καὶ πά-
λιν, Ἐγώ εἰμι τὸ φῶς. Καὶ ποταπὸν, εἰπέ μοι, τοῦτο
τὸ φῶς; Οὐ τοιοῦτον αἰσθητὸν, ἀλλὰ νοητὸν, τὴν ψυ-
χὴν φωτίζον αὐτήν. Ἐπειδὴ γὰρ μέλλει λέγειν ὁ Χρι-
στὸς, ὅτι Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ
Πατὴρ ἑλκύσῃ αὐτὸν, διὰ τοῦτο προλαβὼν ἐνταῦθα ὁ
εὐαγγελιστὴς ἔφησεν, ὅτι αὐτός ἐστιν ὁ φωτίζων, ἵνα
κἂν περὶ τοῦ Πατρὸς ἀκούσῃς τι τοιοῦτον, μὴ τοῦ Πα- D
τρὸς εἶναι λέγῃς αὐτὸ μόνου, ἀλλὰ καὶ τοῦ Υἱοῦ· Πάντα
γὰρ, φησὶν, ὅσα ἔχει ὁ Πατήρ μου, ἐμά ἐστι. Πρῶ-
τον μὲν οὖν περὶ τῆς δημιουργίας ἡμᾶς ἐδίδαξεν·
ἔπειτα λέγει καὶ τὰ κατὰ ψυχὴν ἀγαθὰ, ἅπερ παρέ-
σχεν ἡμῖν ἐλθὼν, καὶ δι' ἑνὸς ῥήματος ᾐνίξατο αὐτὰ
ὁ εὐαγγελιστὴς, εἰπών· Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀν-
θρώπων. Καὶ οὐκ εἶπεν, ἦν τὸ φῶς τῶν Ἰουδαίων,
ἀλλὰ [c] καθόλου τῶν ἀνθρώπων. Οὐδὲ γὰρ Ἰουδαῖοι
μόνον, ἀλλὰ καὶ Ἕλληνες πρὸς ταύτην ἦλθον τὴν
γνῶσιν, καὶ κοινὸν ἅπασι προὔκειτο τοῦτο τὸ φῶς. Τί-
νος δὲ ἕνεκεν οὐχὶ καὶ τοὺς ἀγγέλους προσέθηκεν,
ἀλλὰ Τῶν ἀνθρώπων εἶπεν; Ὅτι νῦν αὐτῷ περὶ τῆς E
φύσεως ταύτης ὁ λόγος ἐστὶ, καὶ τούτοις ἦλθεν εὐαγ-
γελιζόμενος τὰ ἀγαθά. Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαί-
νει. Σκοτίαν καὶ τὸν θάνατον καὶ τὴν πλάνην φησί.
Τὸ μὲν γὰρ φῶς τοῦτο τὸ αἰσθητὸν οὐκ ἐν τῇ σκοτίᾳ 40
φαίνει, [d] ἀλλ' ἐκείνης χωρίς. Τὸ δὲ κήρυγμα μεταξὺ τῆς A

tum est mortis imperium, luceque nos illuminan-
te, tenebræ non ultra manent; sed manet semper
in nobis vita, et mors ei dominari non potest.
Itaque quod de Patre dictum est, de hoc quoque
proprie dicatur, *In ipso vivimus, movemur, et* Act. 17. 28.
sumus : id quod etiam Paulus declarat his ver-
bis : *Quoniam in ipso creata sunt omnia, et* Col. 1. 16.
omnia in ipso constant. Quapropter et radix di- Pater non compositus, Filius item non compositus est.
citur et fundamentum. Cum autem audis, *In ipso*
vita erat, ne compositum suspiceris : nam postea
de Patre dicit : *Sicut Pater habet vitam in se-* Joan. 5. 26.
metipso, sic dedit et Filio habere vitam. Sed
sicut Patrem non ideo compositum dixeris, sic
nec Filium dicas. Etenim alibi quoque dicit, *Lux* 1. Joan. 1. 5.
est Deus; et rursus, *Lucem habitat inacces-* 1. Tim. 6. 12.
sibilem. Hæc porro omnia dicta sunt, non ut
compositionem suspicemur, sed ut paulatim ad
doctrinæ culmen evehamur. Cum enim non faci-
le a vulgo intelligi possit, qua ratione vita in
ipso exsistat, primo id quod humilius est dicit;
eruditos vero postea altius erigit. Qui enim di-
xit, *Dedit ei vitam habere,* is ipse ait : *Ego* Joan. 5. 26.
sum vita; et rursus, *Ego sum lux.* Et qualis, 14. 6 et 8. 12.
quæso, hæc lux est? Non sensilis, sed spiritua-
lis, quæ illuminat animam. Quia enim Christus
dicturus erat, *Nemo potest venire ad me, nisi* Joan. 6. 44.
Pater traxerit eum, ideo præveniens evangelista
dixit ipsum esse qui illuminat; ut si de Patre
quid simile audias, ne id solius Patris, sed Filii
quoque esse profitearis : nam *Omnia,* inquit, Joan. 16. 15.
quæcumque habet Pater meus, mea sunt. Pri-
mo igitur creationem nos docuit : deinde animæ
bona quæ veniens nobis largitus est, uno verbo
subindicavit evangelista dicens : *Et vita erat*
lux hominum. Nec dixit, Erat lux Judæorum,
sed, Universorum hominum. Neque enim Judæi
tantum, sed etiam gentiles ad hanc cognitionem
devenerunt, et hæc lux communis omnibus pro-
posita erat. Cur autem non angelos addidit, sed
homines solum dixit? Quia nunc ipsi de humana
natura sermo est; et hominibus bona nuntiatu-
rus venit. 5. *Et lux in tenebris lucet.* Tenebras
hic vocat mortem et errorem. Hæc quippe lux
sensilis non in tenebris lucet, sed sine tenebris
est. Prædicatio autem inter eum, qui omnia oc-
cupaverat, errorem effulsit, eumque sustulit. Et

* [καὶ addidimus e Savil., Codd. 705 et 706, et Bibl.]

[a] Morel. καὶ πάλιν. Savil. καὶ ἀλλαχοῦ. [Supra μηδὲ τὸν Υἱὸν Savil. et Codd. cit. Legebatur in Montf. μὴ τ. υ.]

[b] Savil. [et Cod. 705] ἐναχθῶμεν, Morel. [et Cod. 706] ἀναχθῶμεν.

[c] καθόλου deest in quibusdam Mss. qui habent infra ἅπασι προὔκειται.

[d] Duo Mss. ἀλλ' ἐκείνης χωρίς. Quam veram esse le-

in ipsam mortem veniens ipse, sic illam superavit, ut eos qui morte jam detinebantur, erueret. Quoniam igitur neque mors, neque error lucem illam superarunt; sed est ubique splendida, et propria vi fulget: ideo ait, ***Et tenebræ eam non comprehenderunt.*** Est enim inexpugnabilis, nec libenter in animis habitat, qui nolunt illuminari.

4. Quod si non omnes ceperit, ne id te conturbet: non enim ex necessitate aut vi, sed ex voluntate et arbitrio ad nos accedit Deus. Ne luci huic ostium claudas, et multa voluptate frueris. Hæc porro lux per fidem accedit, et cum semel advenit, excipientem se admodum illuminat: et si puram exhibeas vitam perpetuo intus manebit:
Joan. 14. 24. nam ***Qui diligit me, mandata mea servabit, et veniemus ad eum ego et Pater meus, et mansionem apud eum faciemus.*** Quemadmodum enim non potest quis radio solari probe frui, nisi oculos aperiat: ita neque hujus splendoris abunde consors esse, nisi animæ oculos aperiat, eorumque aciem undique paret. Quomodo autem id fieri possit? Si animum omni vitio purgemus. Peccatum enim tenebrosum est, densaque caligine offusum; idque inde palam est, quod inconsiderate et sine arbitris admittatur. Nam
Dan. 3. 20. ***Omnis qui male agit, odit lucem, et non venit ad lucem;*** et, ***Quæ in occulto fiunt, turpe est et dicere.*** *Ephes.* 5. 12. Sicut enim in tenebris nec amicum nec inimicum agnoscimus rerumque omnium naturam ignoramus, sic et in peccato accidit. Nam qui avaritiæ studet, non distinguit amicum ab inimico: invidusque necessitudine sibi junctum ut inimicum habet; ac qui insidiatur, contra omnes bellum gerit: uno verbo, quisquis peccato obnoxius est, nihil differt ab ebriis et furentibus, neque rerum naturam novit.
Peccator nihil differt ab ebriis.
Ac quemadmodum noctu lignum, plumbum, ferrum, argentum, aurum, lapidem pretiosum, omniaque pari modo cernimus, cum lux ad hæc discernenda non adsit: sic qui vita impurus est, temperantiæ virtutem non novit, neque philosophiæ pulchritudinem. In tenebris enim, ut jam dixi, ne lapides quidem pretiosi pulchritudinem suam exhibent, non naturæ suæ vitio, sed spectantium ignorantia. Ne-

πλάνης κρατούσης ἔλαμψε, κἀκείνην ἠφάνισε. Καὶ ἐν τῷ θανάτῳ γενόμενος αὐτὸς, οὕτως αὐτοῦ περιεγένετο, ὡς καὶ τοὺς ἤδη προκατεχομένους ἀναγαγεῖν. Ἐπεὶ οὖν οὔτε ὁ θάνατος αὐτοῦ περιεγένετο, οὔτε ἡ πλάνη, ἀλλ' ἔστι φαιδρὸν πανταχοῦ, καὶ λάμπει μετὰ τῆς οἰκείας ἰσχύος, διὰ τοῦτό φησι, Καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε. Καὶ γάρ ἐστιν ἀκαταγώνιστον, οὐκ ἐμφιλοχωροῦν ταῖς μὴ φωτισθῆναι βουλομέναις ψυχαῖς.

Εἰ δὲ μὴ πάντας εἷλε, μή σε τοῦτο θορυβείτω· οὐδὲ γὰρ ἀνάγκῃ καὶ βίᾳ, ἀλλὰ βουλήσει καὶ γνώμῃ προσ-
B άγεται ἡμᾶς ὁ Θεός. Μὴ δὴ τὰς θύρας ἀποκλείσῃς τῷ φωτὶ τούτῳ, καὶ πολλῆς ἀπολαύσῃ τῆς τρυφῆς. Παραγίνεται δὲ τοῦτο τὸ φῶς διὰ πίστεως, καὶ παραγενόμενον καταλάμπει λοιπὸν μετὰ πολλῆς τῆς δαψιλείας τὸν ὑποδεξάμενον· κἂν βίον αὐτῷ παρέχῃς καθαρὸν, μένει διηνεκῶς ἐνοικῶν ἔνδον· Ὁ γὰρ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, καὶ ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ πρὸς αὐτὸν, φησὶ, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. Ὥσπερ οὖν ἡλιακῆς ἀκτῖνος ἀπολαύειν ὡς χρὴ οὐκ ἔνι, μὴ διανοίγοντα τοὺς ὀφθαλμούς· οὕτως οὐδὲ ταύτης μετασχεῖν τῆς λαμπρότητος δαψιλῶς, μὴ σφόδρα ἀναπετάσαντα τὸ τῆς ψυχῆς ὄμμα, καὶ ὀξυ-
C δερκὲς αὐτὸ πάντοθεν κατασκευάσαντα. Πῶς δὲ γίνεται τοῦτο; Ὅταν πάντων ἐκκαθάρωμεν τῶν παθῶν τὴν ψυχήν. Ἡ γὰρ ἁμαρτία σκότος ἐστὶ, καὶ σκότος βαθύ· καὶ δῆλον ἐκ τοῦ ἀσυνειδότως καὶ λανθανόντως πράσσειν αὐτήν. Πᾶς γὰρ ὁ τὰ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς· καὶ, Τὰ κρυφῇ γινόμενα, αἰσχρόν ἐστι καὶ λέγειν. Καθάπερ οὖν ἐν σκότῳ, οὐ φίλον, οὐκ ἐχθρόν τις οἶδεν, ἀλλὰ πάσας ἀγνοεῖ τῶν πραγμάτων τὰς φύσεις· οὕτω καὶ ἐν τῇ ἁμαρτίᾳ. Καὶ γὰρ ὁ πλεονεκτῆσαι βουλόμενος, οὐ διαιρεῖ [a] τὸν φίλον ἀπὸ τοῦ πολεμίου· καὶ ὁ βασκαίνων,
D καὶ τὸν σφόδρα ᾠκειωμένον ὡς ἐχθρὸν ὁρᾷ· καὶ ὁ ἐπιβουλεύων ὁμοίως πρὸς πάντας ἐκπεπολέμωται, καὶ ἁπλῶς ἅπας ὁ τὴν ἁμαρτίαν ποιῶν, τῶν μεθυόντων οὐδὲν διενήνοχε καὶ μαινομένων πρὸς τὸ τῶν πραγμάτων μὴ ἐπιγνῶναι τὴν φύσιν. Καὶ καθάπερ ἐν νυκτὶ, καὶ ξύλον, καὶ [b] μόλυβδον, καὶ σίδηρον, καὶ ἄργυρον, καὶ χρυσὸν, καὶ λίθον τίμιον, πάντα ὁμοίως ὁρῶμεν, τοῦ διακρίνοντος αὐτὰ φωτὸς οὐ παρόντος· οὕτω καὶ ὁ βίον ἀκάθαρτον ἔχων, οὐκ οἶδε τῆς σωφροσύνης τὴν ἀρετὴν, οὐ τῆς φιλοσοφίας τὸ κάλλος. Ἐν γὰρ σκότῳ, καθάπερ ἔφθην εἰπὼν, κἂν λίθοι κέωνται τίμιοι, τὸ κάλλος οὐκ ἐμφαίνουσιν, οὐ παρὰ τὴν οἰκείαν φύσιν,

ctionem puto. Editi et alii Mss. ἀλλ' ἐκείνου χωρίς. Neutra vero lectio placet Savilio, qui hæc notat: *Interpres*, sed omni luce penitus tenebræ carent, *quasi legeret*, ἀλλ' ἐκείνου (*scil.* φωτός) χωρὶς ἡ σκοτία. *Locus est, me judice, non sanus: neque enim, ut demus* ἐκείνου *pro* ἐκείνης *σολοικοφανῶς dictum ad* σκοτίαν *referri, satis constat sensus*. Verum ut nemo non videt, ἐκείνης pro ἐκείνου posito, nihil difficultatis esse potest.

[a] Alii τὸν φίλον τοῦ πολεμίου.

[b] Morel. et quidam Mss. μόλυβδον. Savil. et alii μόλιβδον; utrumque dicitur.

ἀλλὰ παρὰ τὴν ἄγνοιαν τῶν δρώντων. Οὐ τοῦτο δὲ E μόνον ἡμῖν τὸ δεινὸν τοῖς ἐν ἁμαρτίαις οὖσι συμβαίνει, ἀλλ' ὅτι καὶ φόβῳ συζῶμεν διηνεκεῖ· καὶ καθάπερ οἱ διὰ νυκτὸς ἀσελήνου βαδίζοντες τρέμουσι, κἂν μηδεὶς ὁ φοβῶν παρῇ· οὕτω καὶ οἱ τὴν ἁμαρτίαν ἐργαζόμενοι, θαῤῥεῖν οὐκ ἔχουσι, κἂν μηδεὶς ὁ ἐλέγχων ᾖ, ἀλλὰ πάντα δεδοίκασι, καὶ ὑποπτεύουσιν, ὑπὸ τοῦ συνειδότος [c] κεντούμενοι, καὶ πάντα αὐτοῖς δέους καὶ ἀγω- 41 A νίας ἐστὶ μεστὰ, πάντα περιβλέπονται, πάντα φοβοῦνται. Φύγωμεν τοίνυν τὴν οὕτως ὀδυνηρὰν ζωήν. Καὶ γὰρ μετὰ τὴν ὀδύνην ταύτην θάνατος ἕψεται, θάνατος ἀθάνατος· οὐδὲ γάρ ἐστι τῆς ἐκεῖ κολάσεως τέλος· καὶ ἐνταῦθα δὲ τῶν παραπαιόντων οὐδὲν διενηνόχασιν οἱ πράγματα ὀνειροπολοῦντες οὐχ ὑφεστῶτα. Καὶ γὰρ δοκοῦσι πλουτεῖν οὐ πλουτοῦντες, καὶ νομίζουσι τρυφᾷν οὐ τρυφῶντες, καὶ οὐ πρότερον αἰσθάνονται τῆς ἀπάτης ὡς χρὴ ταύτης, ἕως ἂν τῆς μανίας ἀπαλλαγῶσιν, ἕως ἂν τὸν ὕπνον ἀποτινάξωνται. Διὸ νήφειν καὶ ἐγρηγορέναι πᾶσιν ὁ Παῦλος [*] παρακελεύεται· καὶ ὁ Χρι- B στὸς τὰ αὐτὰ πάλιν. Ὁ νήφων καὶ ἐγρηγορὼς, κἂν ὑπὸ τῆς ἁμαρτίας ἁλῷ, ταχέως αὐτὴν ἀποκρούεται· ὁ δὲ καθεύδων καὶ ἐξεστηκὼς, οὐκ αἰσθάνεται πῶς ὑπ' αὐτῆς κατέχεται. Μὴ τοίνυν καθεύδωμεν. Οὐ γὰρ νυκτὸς ὁ καιρὸς, ἀλλ' ἡμέρας. Ὡς ἐν ἡμέρᾳ τοίνυν εὐσχημόνως περιπατήσωμεν. Οὐδὲν γὰρ ἁμαρτίας ἀσχημονέστερον. Ἔλαττον κακὸν εἰς ἀσχημοσύνης λόγον, γυμνοὺς, ἢ ἁμαρτάνοντας [a] ἢ πλημμελοῦντας περιέρχεσθαι. Ἐκεῖνο μὲν γὰρ οὐ τοσοῦτον ἔγκλημα· πολλάκις γὰρ καὶ ἀπὸ πενίας γένοιτ' ἄν· τοῦ δὲ ἁμαρτάνοντος οὐδὲν αἰσχρότερον καὶ ἀτιμότερον. Ἐννοήσω- C μεν οὖν τοὺς εἰς δικαστήριον ἀπιόντας ἁρπαγῆς ἕνεκα καὶ πλεονεξίας, πῶς αἰσχροὶ καὶ καταγέλαστοι φαίνονται, πάντα ἀναισχυντοῦντες, ψευδόμενοι καὶ ἰταμευόμενοι. Ἡμεῖς δὲ οὕτως ἐσμὲν ἐλεεινοὶ καὶ ταλαίπωροι, ὡς ἱμάτιον μὲν μὴ ἂν ὑπομεῖναι ἁπλῶς περιβαλέσθαι καὶ διεστραμμένως, ἀλλὰ κἂν ἕτερον ἴδωμεν τοῦτο πάσχοντα, διορθούμεθα· πάντων δὲ καὶ ἡμῶν καὶ τῶν πλησίον κατὰ κεφαλῆς περιπατούντων, μηδὲ ἐπαισθάνεσθαι. Τί γὰρ αἰσχρότερον, εἰπέ μοι, ἀνδρὸς πρὸς γυναῖκα πόρνην εἰσιόντος; τί δὲ ὑβριστοῦ, τί δὲ λοιδόρου καὶ βασκάνου καταγελαστότερον γέ- D νοιτ' ἄν; πόθεν οὖν οὐ δοκεῖ ταῦτα οὕτως εἶναι αἰσχρὰ, ὡς τὸ γυμνοὺς περιπατεῖν; Ἀπὸ τῆς [b] συνηθείας μόνης. Τοῦτο μὲν γὰρ οὐδεὶς οὐδέποτε ἑκὼν ἔπαθεν· ἐκεῖνο δὲ ἅπασιν ἀεὶ τολμᾶται μετὰ ἀδείας. Ἐπεὶ εἴ τις εἰς ἀγγέλων πλῆθος ἦλθε, παρ' οἷς οὐδὲν οὐδέποτε τοιοῦτον ἐγένετο, [c] εἶδεν ἂν τότε ἀκριβῶς τὸν πολὺν γέλωτα. Καὶ τί λέγω πλῆθος ἀγγέλων; Ἐν γὰρ τοῖς βασιλείοις

[c] κεντούμενοι, sic Savil. et Morel. Alii δακνόμενοι.

[*] [Cod. 705 παρεκελεύετο. Savil. διακελεύεται.]

[a] [Savil. et Codd. 705, 706 καὶ πλ.]

que hoc unum nobis damnum in peccato degentibus accidit; sed et in perpetuo metu versamur: ac quemadmodum ii qui per noctem illunem iter agunt, semper tremunt, licet nemo adsit qui metum incutiat: sic ii qui peccatis dediti sunt, fidere nequeunt, etiamsi nullus adsit qui redarguat; sed omnia formidant et suspecta habent, conscientia stimulante, omniaque ipsis terrore et formidine plena sunt, omnia anxii circumspiciunt. Tam molestam ergo vitam fugiamus. Nam post angorem hujusmodi, mors sequetur, mors immortalis: illic enim nullus supplicii finis erit; hic vero ab insanientibus nihil differunt ii, qui res sibi fingunt, quæ ne quidem exsistunt. Videntur enim sibi divites esse, cum non sint; se deliciari putant, et nullæ deliciæ: nec prius fallaciam ut par esset sentiunt, quam ab hac insania liberentur, et donec somnum excutiant. Ideoque ut sobrii simus et vigilemus Paulus omnibus præcipit: et idipsum quoque Christus. Qui sobrius est et vigilat, si a peccato capiatur, cito ipsum excutit: qui vero dormit aut insanit, ne quidem sentit quomodo a peccato teneatur. Ne itaque dormiamus. Neque enim noctis tempus est, sed diei. Itaque *Sicut in die honeste ambulemus*. Nihil Rom. 13. 13. enim peccato turpius. Minus est malum, secundum turpitudinis rationem, nudos, quam peccatis et sceleribus onustos obambulare. Illud enim non tantum crimen esset: sæpe namque ex paupertate oritur: peccatore autem nihil turpius, nihil contemtu dignius. Cogitemus ergo eos, qui rapinæ et usuræ causa in judicium raptantur, quam turpes, quam ridiculi videantur, ut qui omnia impudenter, fallaciter et cum violentia egerint. Nos autem ita miseri infelicesque sumus, ut dum pallium negligenter vel transverse positum gestare non patimur; imo idipsum in alio emendamus; cum autem et nos et proximi nostri inverso capite ambulemus, id ne quidem sentiamus. Quid enim, quæso, turpius viro, qui meretricem adit? quid contumelioso, quid maledico, quid invido risu dignius? qui fieri potest ut hæc non tam turpia habeantur, quam nudos ambulare? A consuetudine tantum. Illud enim nemo unquam sponte sua passus est, hoc vero omnes confidenter audent. Certe si quis angelorum cœtum adiret, in quo nihil unquam hujusmodi gestum est, statim videret quam ridicula res esset. Ecquid

Satius est nudum quam peccatis onustum ambulare.

[b] Alii συνηθείας ταύτης.

[c] Morel. εἶδεν ἂν τότε. Savil. εἶδεν ἂν αὐτοῦ.

angelorum cœtum memoro? Nam in imperatoriis apud nos ædibus, si quis inducta meretrice utatur, vel si ebrietate capiatur, vel turpe aliud quidpiam admittat, extremas dat pœnas. Quod si in imperatoriis ædibus talia audere non licet; multo magis, ubique præsente universorum Rege, omniaque circumspiciente, si similia aggrediamur, extremum luemus supplicium. Quapropter rogo, multam in hac vita quietem et modestiam, multam munditiem exhibeamus. Regem quippe habemus, qui nostra omnia perpetuo intuetur. Ut itaque semper lux illa nos illuminet, hunc nobis radium attrahamus. Ita enim et præsentibus et futuris fruemur bonis, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, unaque Spiritui sancto, in sæcula sæculorum. Amen.

αὐτοῖς τοῖς παρ' ἡμῖν, εἴ τις ἂν πόρνην εἰσαγαγὼν χρῷτο αὐτῇ, ἢ μέθῃ οἴνου κατασχεθείη, ἢ ἄλλο τι τοιοῦτον ἀσχημονήσειε, τὴν ἐσχάτην δίδωσι δίκην. Εἰ E δὲ ἐν βασιλείοις οὐκ ἀνεκτὸν τὰ τοιαῦτα τολμᾷν, πολλῷ μᾶλλον, τοῦ πανταχοῦ βασιλέως παρόντος καὶ τὰ γινόμενα θεωμένου, ἂν τοιαῦτα τολμῶμεν, τὴν ἐσχάτην ὑποστησόμεθα κόλασιν. Διὸ, παρακαλῶ, πολλὴν ἐν τῷ βίῳ τὴν ἡσυχίαν ἐπιδειξώμεθα, πολλὴν τὴν καθαρότητα. Καὶ γὰρ ἔχομεν βασιλέα πάντα ὁρῶντα διηνεκῶς τὰ ἡμέτερα. Ἵν' οὖν ἡμᾶς ἀεὶ τοῦτο δαψιλῶς φωτίζῃ τὸ φῶς, ἐπισπασώμεθα ταύτην τὴν ἀκτῖνα. Οὕτω γὰρ καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἀπολαύσομεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA VI.

42 A

ΟΜΙΛΙΑ ς'.

6. *Fuit homo missus a Deo, cui nomen erat Joannes.*

Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης.

In exordio de Deo Verbo quæ præcipua et magis necessaria erant loquutus evangelista, ordine procedens, ad Verbi præconem sibi cognominem Joannem postea venit. Tu vero cum audis ipsum a Deo missum fuisse, nihil humanum ab eo dici putes. Non enim sua, sed mittentis se dicta profert. Ideoque angelus appellatus est: angeli vero sive nuntii officium est, nihil ex se dicere. Illud autem, *Fuit*, non hic ad exsistentiam transitum significat, sed missionem ipsam. Nam illud, *Fuit missus a Deo*, idipsum est quod, Missus est a Deo. Quomo-
Philipp. 2. 6. do igitur illud, *Qui cum in forma Dei esset*, dicunt non intelligi de æqualitate Filii cum Patre, eo quod articulus non apponatur? Ecce enim hic quoque nullus adest articulus. An igitur hic de Patre non est sermo? Quid ergo dicemus de
Mal. 3. 1. propheta qui ait: *Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam?* Illud meum et tuum, duas personas significat: 7. *Hic venit in testimonium, ut testimonium perhiberet de lumine.* Quid hoc, dicet fortasse quispiam, servus de domino testimonium perhibet? Cum ergo non modo illum servi testimonio perhiberi videbis, sed etiam ad servum

[a] Διαλεχθεὶς περὶ τοῦ Θεοῦ Λόγου τὰ κατεπείγοντα ἐν προοιμίοις ἡμῖν, ὁδῷ καὶ τάξει προβαίνων, καὶ ἐπὶ τὸν τοῦ Λόγου κήρυκα τὸν ὁμώνυμον αὐτοῦ τὸν Ἰωάννην ἔρχεται λοιπόν. Σὺ δὲ ἀκούων, ὅτι παρὰ Θεοῦ ἀπεστάλη, μηδὲν λοιπὸν ἀνθρώπινον εἶναι νό- B μιζε τῶν λεγομένων παρ' ἐκείνου. Οὐ γὰρ τὰ αὐτοῦ, ἀλλὰ τὰ τοῦ πέμψαντος ἅπαντα φθέγγεται. Διὸ καὶ ἄγγελος [b] προσηγόρευται· ἀγγέλου δὲ ἀρετὴ, τὸ μηδὲν ἴδιον εἰπεῖν. Τὸ δὲ, Ἐγένετο, ἐνταῦθα οὐ τῆς εἰς τὸ εἶναι παρόδου δηλωτικὸν, ἀλλὰ τῆς ἀποστολῆς ἐστιν αὐτῆς. Τὸ γὰρ, Ἐγένετο ἀπεσταλμένος παρὰ Θεοῦ, ἀντὶ τοῦ, ἀπεστάλη παρὰ Θεοῦ. Πῶς οὖν τὸ, Ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐ περὶ τῆς πρὸς τὸν Πατέρα ἀπαραλλαξίας εἰρῆσθαί φασι διὰ τὸ μὴ προσκεῖσθαι τὸ ἄρθρον; Ἰδοὺ γὰρ καὶ ἐνταῦθα οὐδαμοῦ τὸ ἄρθρον πρόσκειται. Ἆρ' οὖν οὐ περὶ τοῦ Πατρὸς εἴρηται; Τί C οὖν ἐροῦμεν τῷ προφήτῃ λέγοντι, ὅτι Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου; Τὸ μὲν ἐμοῦ καὶ σοῦ, δύο προσώπων ἐστὶ δηλωτικόν. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Τί τοῦτο; ὁ δοῦλος τῷ δεσπότῃ μαρτυρεῖ, ἴσως εἴποι τις ἄν; Ὅταν οὖν μὴ μόνον ὑπὸ τοῦ δούλου μαρτυρούμενον αὐτὸν, ἀλλὰ καὶ παραγινόμενον ἴδῃς πρὸς αὐτὸν, καὶ μετὰ

[a] Savil. sic incipit, περὶ τοῦ Θεοῦ Λόγου διαλεχθεὶς τά.

[b] Aliqui προηγόρευται.

Ἰουδαίων βαπτιζόμενον ὑπ' αὐτοῦ· ἆρ' οὐ μᾶλλον ἐκστήσῃ καὶ διαπορήσεις; Ἀλλ' οὐ χρὴ ταράττεσθαι οὐδὲ θορυβεῖσθαι, ἀλλ' ἐκπλήττεσθαι τὴν ἄφατον ἀγαθότητα. Ἂν δὲ ἐπιμένῃ τις ἔτι ἰλιγγιῶν καὶ θορυβούμενος, ἐρεῖ καὶ πρὸς αὐτὸν τοῦτο, ὃ καὶ πρὸς Ἰωάννην εἶπεν· Ἄφες ἄρτι· οὕτω γὰρ πρέ- D πον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. Εἰ δὲ καὶ ἐπὶ πλεῖον [c] ταραχθείη, πάλιν ἐρεῖ ἃ πρὸς τοὺς Ἰουδαίους ἔφησε καὶ πρὸς αὐτὸν, ὅτι Παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω. Εἰ τοίνυν μὴ δεῖται τῆς μαρτυρίας ταύτης, τίνος ἕνεκεν ἀπεστάλη παρὰ Θεοῦ ὁ Ἰωάννης; Οὐχ ὡς αὐτοῦ δεομένου μαρτυρίας (τοῦτο γὰρ τῆς ἐσχάτης βλασφημίας ἐστίν), [d] ἀλλὰ διατί; Αὐτὸς ὁ Ἰωάννης διδάσκει λέγων, Ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. Καὶ αὐτὸς δὲ ὁ Χριστὸς εἰπὼν, ὅτι Παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω, ἵνα μὴ δόξῃ παρὰ τοῖς ἀνοήτοις ἑαυτῷ περιπίπτειν· νῦν μὲν λέγων, Ἄλλος ἐστὶ ὁ μαρτυρῶν περὶ E ἐμοῦ· καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ· τὸν γὰρ Ἰωάννην ἐδήλου· νῦν δὲ λέγων, Παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω, ἐπήγαγε τὴν λύσιν ταχέως, εἰπών· Ἀλλὰ ταῦτα λέγω δι' ὑμᾶς, ἵνα σωθῆτε· ὡσανεὶ ἔλεγεν· ὅτι μὲν Θεός εἰμι, καὶ Θεοῦ 43 A γνήσιος Υἱὸς, καὶ τῆς οὐσίας ἐκείνης τῆς ἀκηράτου καὶ μακαρίας, * καὶ οὐδενὸς δέομαι τοῦ μαρτυρήσοντος. Κἂν γὰρ μηδεὶς ἐθέλῃ τοῦτο ποιεῖν, οὐδὲν ἐγὼ παρὰ τοῦτο εἰς τὴν φύσιν ἠλάττωμαι τὴν ἐμήν. Ἐπειδὴ δὲ τῆς σωτηρίας μοι μέλει τῆς τῶν πολλῶν, τούτου χάριν εἰς τοῦτο κατέβην ταπεινότητος, ὡς καὶ ἀνθρώπῳ τὴν μαρτυρίαν ἐπιτρέψαι τὴν ἐμήν. Διὰ γὰρ τὸ χαμαίζηλον καὶ ἀσθενὲς τῶν Ἰουδαίων, οὕτως εὐληπτοτέρα αὐτοῖς καὶ εὐκολωτέρα ἔμελλεν ἡ εἰς αὐτὸν γίνεσθαι πίστις. Ὥσπερ οὖν σάρκα περιεβάλετο, ἵνα μὴ γυμνῇ τῇ θεότητι προσβαλὼν, ἅπαντας ἀπολέσῃ· οὕτω καὶ κήρυκα ἄνθρωπον ἐξέπεμψεν, ἵνα τῆς συγγενοῦς ἀκούοντες φωνῆς, εὐκολώτερον οἱ τότε ἀκούοντες προσέρχωνται. Ἐπεὶ ὅτι γε τῆς ἐκείνου οὐδὲν ἐδεῖτο μαρτυρίας, ἤρκει δεῖξαι μόνον ἑαυ- B τὸν ὅστις ἦν γυμνῇ τῇ οὐσίᾳ, καὶ καταπλήξασθαι πάντας. Ἀλλὰ τοῦτο οὐκ ἐποίησε, δι' ὅπερ ἔφθην εἰπών· πάντας γὰρ ἂν ἠφάνισε, μηδενὸς δυναμένου τὴν ἀπρόσιτον ἐκείνην τοῦ φωτὸς προσβολὴν ἐνεγκεῖν. Διὰ τοῦτο καὶ σάρκα, καθάπερ ἔφθην εἰπὼν, ὑπέδυ, καὶ ἑνὶ τῶν ἡμετέρων ὁμοδούλων ἐγχειρίζει τὴν μαρτυρίαν, ἐπειδὴ πάντα πρὸς τὴν τῶν ἀνθρώπων ἐπραγματεύσατο σωτηρίαν, οὐ πρὸς τὴν ἀξίαν μόνον τὴν ἑαυτοῦ, ἀλλὰ καὶ πρὸς τὸ εὐπαράδεκτον καὶ ὠφελι-

venire, ac cum Judæis ab illo baptizari, annon magis obstupesces et dubitabis? Sed non oportet turbari vel commoveri, at potius ejus ineffabilem benignitatem mirari. Si vero quis dubius in perturbatione maneat, id illi dicet, quod Joanni: *Sine modo: sic enim decet nos implere omnem justitiam.* Quod si magis adhuc turbetur, dicet illi rursum id quod Judæis dicebat, *Non ab homine testimonium accipio.* Si ergo hoc testimonio non eget, cur Joannes missus est a Deo? Non quod ejus testimonio egeret (id enim dicere, extremæ impietatis esset), sed cur tandem? Illud ipse Joannes docet, cum ait: *Ut omnes crederent per illum.* Ipse vero Christus cum dixisset, *Non ab homine testimonium accipio*, ne apud insipientiores sibi ipsi repugnare videretur; cum nunc dicat: *Alius est qui testimonium perhibet de me: et scio quia verum est testimonium ejus*, de Joanne loquens; nunc vero, *Non ab homine testimonium accipio*, solutionem mox adjicit dicens: *Sed hæc dico propter vos, ut salvi sitis;* ac si diceret: Deus sum, et Dei verus Filius, ex substantia illa immortali et beata, nulliusque testimonio egeo. Etsi enim nemo id testificari vellet, in nullo secundum naturam minor essem. Quia vero multorum salus mihi curæ est, ideo in hanc me demisi humilitatem, ut homini testimonium de me ferendum committerem. Nam perspecta Judæorum imbecillitate, sic facilior fides in eum futura videbatur. Sicut igitur carnem induit, ne cum nuda divinitate congressus, omnes perderet; sic et præconem misit hominem, ut congenerem sibi vocem audientes, facilius ii qui tunc audiebant accederent. Nam quod non illius testimonio opus haberet, hoc solum modo ostendi poterat, si nempe se nuda substantia exhibuisset, omnesque in stuporem conjecisset. Verum id non fecit, quoniam, ut jamjam dixi, omnes perdidisset, quod nemo posset inaccessam illam lucis vim ferre. Ideo carnem induit, et testimonium de se ferendi officium uni conservorum nostrorum tradit, quia omnia ad salutem hominum operatus est: neque suæ dignitati tantum, sed etiam auditorum captui et utilitati consuluit: quod et ipse subindicans dicebat: *Hæc dico propter vos, ut salvemini.* Et evangelista, qui ea ipsa, quæ Dominus, loquitur, postquam di-

Matth. 3. 15.

Joan. 5. 34.

Quomodo Christus testimonium accipiat ab homine.

Joan. 5. 32.

[c] Sic Morel. Alii et Savil. ταραχθείη τις, λέγω ἃ πρὸς τοὺς Ἰουδαίους ἔφησε, καὶ πρὸς σὲ οὐχ ὅτι. Sed οὐχ recte omissum fuit, nec legit Franciscus Aretinus, maleque positum asserit Boisius in Notis Savilianis.

[d] Alii ἀλλὰ διότι αὐτὸς ὁ Ἰωάννης ἐπήγαγεν εἰπών, ἵνα πάντες.

* [καὶ omittunt Savil. et Codd. 705, 706.]

xerat, *Ut testimonium perhiberet de lumine*, subjunxit, *Ut omnes crederent per eum;* ac si diceret : Ne putes ideo testificaturum venisse Joannem Baptistam, ut aliquid fidei verbis Domini adderet : non propterea venit, sed ut contribules sui per ipsum crederent. Quod autem ad eam tollendam suspicionem hæc dixerit, ex sequentibus constat : addit enim : 8. *Non erat ille lux*. Nisi enim hujus abigendæ suspicionis gratia hæc dixisset, superfluum hoc esset, et magis repetitio quam explicatio doctrinæ. Cum dixisset enim, Missus est *Ut testimonium perhiberet de lumine*, cur iterum dicit, *Non erat ille lux?* Non frustra nec sine causa : sed quia frequenter apud nos major est is qui testificatur, quam ille de quo testimonium fertur, fideque dignior plerumque videtur esse : ne quis de Joanne id suspicaretur, statim a principio hanc malam suspicionem tollit, eaque radicitus evulsa, ostendit quis sit is qui testificatur, et quis ille de quo testimonium fertur, et quantum sit inter utrumque discrimen. Ac postquam hoc fecit, ostenditque illius incomparabilem excellentiam, fidenter jam cætera prosequitur : et si quid absurdi insipientiorum animos subiret, hoc diligenter sublato, facile deinceps et sine obice doctrinæ verbum immittit. Precemur itaque, ut cum tantarum revelatione rerum, cumque sana rectaque doctrina vitam quoque puram sanctamque ducamus. Doctrina quippe nihil nobis prodest sine bonis operibus. Licet enim fidem integram Scripturarumque intelligentiam teneamus, si bonæ vitæ patrocinio nudi et vacui simus, nihil impediet quominus in gehennæ ignem dejiciamur, et in infinitum inexstinguibili flamma comburamur. Sicut enim ii qui bona egerunt, resurgent in vitam æternam; sic illi qui contraria ausi sunt, in æternum et nunquam finem habiturum supplicium. Quamobrem omne adhibeamus studium, ut ne lucrum nobis ex recta fide partum, operum pravitate labefactemus; sed cum hic pie vixerimus, Christum cum fiducia videamus, cui beatitudini par nihil unquam fue-

μον τοῖς ἀκούουσιν ὁρῶν. Ὅπερ οὖν καὶ αὐτὸς αἰνιτ-
τόμενος ἔλεγεν· Ταῦτα λέγω δι' ὑμᾶς, ἵνα σωθῆτε.
Καὶ ὁ εὐαγγελιστὴς δὲ τὰ αὐτὰ τῷ Δεσπότῃ φθεγγό-
C μενος, μετὰ τὸ εἰπεῖν, Ἵνα μαρτυρήσῃ περὶ τοῦ φω-
τὸς, ἐπήγαγεν, Ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ,
μονονουχὶ λέγων· μὴ νομίσῃς ὅτι διὰ τοῦτο μαρτυ-
ρήσων ἦλθεν ὁ βαπτιστὴς Ἰωάννης, ἵνα τι τῷ Δεσπό-
τῃ προσθῇ εἰς ἀξιοπιστίας λόγον· οὐ διὰ τοῦτο, ἀλλ'
ἵνα οἱ ὁμόφυλοι πιστεύσωσι δι' αὐτοῦ. Ὅτι γὰρ ταύ-
την προανελεῖν τὴν ὑποψίαν σπεύδων [a] τοῦτο εἴρηκε,
καὶ ἐκ τῶν μετὰ ταῦτα δῆλον· ἐπήγαγε γὰρ, Οὐκ ἦν
ἐκεῖνος λέγων τὸ φῶς. Εἰ δὲ μὴ πρὸς τὴν ὑπόνοιαν
ταύτην ἱστάμενος ἐπανέλαβε τοῦτο, παρεῖλκεν ἁπλῶς
τὸ λεγόμενον, καὶ ταυτολογία μᾶλλον, ἢ σαφήνεια
D διδασκαλίας ἦν. Εἰπὼν γὰρ, ὅτι ἀπεστάλη Ἵνα μαρ-
τυρήσῃ περὶ τοῦ φωτὸς, τί πάλιν λέγει, Οὐκ ἦν ἐκεῖ-
νος τὸ φῶς; Οὐχ ἁπλῶς οὐδὲ μάτην· ἀλλ' ἐπειδὴ ὡς
τὰ πολλὰ παρ' ἡμῖν μείζων ὁ μαρτυρῶν τοῦ μαρτυ-
ρουμένου, καὶ ἀξιοπιστότερος πολλάκις εἶναι δοκεῖ·
ἵνα μή τις καὶ ἐπὶ τοῦ Ἰωάννου τοῦτο ὑποπτεύσῃ, ἐκ
προοιμίων εὐθέως τὴν πονηρὰν ταύτην ὑποψίαν ἀναι-
ρεῖ, καὶ πρόῤῥιζον αὐτὴν ἀνασπάσας, δείκνυσι τίς μὲν
οὗτος ὁ μαρτυρῶν, τίς δὲ ἐκεῖνος ὁ μαρτυρούμενος,
καὶ ὅσον τὸ μέσον τοῦ τε μαρτυρουμένου καὶ τοῦ μαρ-
τυροῦντός ἐστι. Καὶ τοῦτο ποιήσας, καὶ δείξας αὐτοῦ
E τὴν ἀσύγκριτον ὑπεροχὴν, οὕτω μετὰ ἀδείας λοιπὸν
καὶ τῷ λειπομένῳ ἐπεξέρχεται λόγῳ· καὶ εἴ τι τῶν
ἀτόπων ἦν ταῖς τῶν ἀνοητοτέρων ὑφορμοῦν δια-
νοίαις, τοῦτο ἐκ μέσου μετὰ ἀκριβείας ἄρας, [b] οὕτως
ἅπασι μετ' εὐκολίας λοιπὸν καὶ ἀκωλύτως τὸν τῆς
διδασκαλίας ἐφεξῆς ἐνίησι λόγον. Εὐξώμεθα δὴ λοι-
πὸν μετὰ τῆς τῶν νοημάτων τούτων ἀποκαλύψεως,
44 καὶ τῆς τῶν δογμάτων ὀρθότητος, καὶ βίον ἡμῖν
A γενέσθαι καθαρὸν καὶ πολιτείαν λαμπράν. Ἐπειδὴ
τούτων ὄφελος οὐδὲν, ἔργων μὴ παρόντων ἡμῖν ἀγα-
θῶν. Κἂν γὰρ ἅπασαν τὴν πίστιν ἔχωμεν καὶ τὴν
τῶν Γραφῶν κατανόησιν, τῆς δὲ ἀπὸ τοῦ βίου προ-
στασίας ὦμεν ἔρημοι καὶ γυμνοὶ, οὐδὲν τὸ κωλύον εἰς
τὸ τῆς γεέννης ἀπενεχθῆναι πῦρ, καὶ εἰς ἄπειρον ὑπὸ
τῆς ἀσβέστου κατακαίεσθαι φλογός. Ὥσπερ γὰρ οἱ τὰ
ἀγαθὰ πράξαντες, ἀναστήσονται εἰς ζωὴν αἰώνιον·
οὕτως οἱ τὰ ἐναντία τετολμηκότες, εἰς αἰώνιον κόλα-
σιν καὶ πέρας οὐδέποτε ἔχουσαν. Διὸ πᾶσαν ἐπιδει-
ξώμεθα σπουδὴν, ὥστε μὴ τὸ γενόμενον ἡμῖν ἀπὸ τῆς
ὀρθῆς πίστεως κέρδος διαφθεῖραι τῇ τῶν ἔργων φαυ-
B λότητι, ἀλλὰ καὶ ἐντεῦθεν εὐδοκιμήσαντες μετὰ παῤ-
ῥησίας ἰδεῖν τὸν Χριστόν. Ταύτης γὰρ ἴσον οὐδὲν τῆς

[a] Alii τοῦτο ἐπήγαγε. [Mox Savil. et Codd. cit. ἐκεῖνος τὸ φῶς, φησίν.]

[b] Morel. οὕτως ἅπασιν ἐπέξεισι. Sed ἐπέξεισι deest in Savil. et in plurimis Mss. Paulo post Morel. ἐφεξῆς περαίνει λέγων, Savil. et Mss. plurimi ἐφεξῆς ἐνίησι λέγων.

μακαριότητος [a] εἴη ποτ' ἄν. Γένοιτο δὲ πάντας ἐπιτυχόντας τῶν εἰρημένων, εἰς δόξαν Θεοῦ πάντα πράττειν, ᾧ ἡ δόξα ἅμα τῷ μονογενεῖ Υἱῷ καὶ τῷ Πνεύματι τῷ ἁγίῳ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

rit. Utinam nos supra dicta consequuti, ad gloriam Dei omnia faciamus, cui gloria una cum unigenito Filio et Spiritu sancto, in sæcula sæculorum. Amen.

[a] εἴη ποτ' ἄν. Alii γένοιτ' ἄν. Ibid. Morel. πάντας ἀξίως βιοῦντας τῶν εἰρημένων. Savil. πάντας ἐπιτυχόντας τῶν εἰρημένων. Pro utraque lectione stant Mss. plurimi.

ΟΜΙΛΙΑ ζ'.

Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

Διὰ τοῦτο, ὦ πολυπόθητα τέκνα, κατὰ μέρος C ὑμᾶς τοῖς ἀπὸ τῶν Γραφῶν ἑστιῶμεν νοήμασι, καὶ οὐκ ἀθρόον πάντα ἐκχέομεν, ἵνα ῥᾴδια τῶν ἀεὶ καταβαλλομένων ὑμῖν ἡ φυλακὴ γένηται. Καὶ γὰρ ἐπὶ τῆς οἰκοδομίας, ὁ μὲν μηδέπω τῶν προτέρων λίθων σφιγγέντων ἑτέρους ἐπιθεὶς, σαθρὸν ἅπαντα καὶ εὐκατάβλητον ὑφαίνει τὸν τοῖχον· ὁ δὲ ἀναμένων πρότερον παγῆναι τὸν χάλικα, καὶ οὕτω τὸ λεῖπον κατὰ μικρὸν ἐπιτιθεὶς, μετὰ ἀσφαλείας ἅπασαν ἀπαρτίζει τὴν οἰκίαν, οὐχ ὀλιγοχρόνιόν τινα, οὐδὲ εὐδιάλυτον, ἀλλὰ βεβαίαν κατασκευάζων αὐτήν. Τούτους καὶ ἡμεῖς D [b] μιμώμεθα τοὺς οἰκοδόμους, καὶ κατὰ τὸν αὐτὸν τρόπον τὰς ὑμετέρας οἰκοδομῶμεν ψυχάς. Καὶ γὰρ δεδοίκαμεν, μήποτε τῆς προτέρας καταβολῆς νεοπαγοῦς ὑπαρχούσης, ἡ τῶν δευτέρων ἐπιθήκη θεωρημάτων καὶ τοῖς προτέροις λυμήνηται, τῆς διανοίας οὐκ ἀρκούσης ἅπαντα ὁμοῦ κατασχεῖν. Τί τοίνυν ἐστὶ τὸ σήμερον ἡμῖν ἀναγνωσθέν; Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐπειδὴ γὰρ ἄνω περὶ τοῦ Ἰωάννου διαλεγόμενος ἔλεγεν, ὅτι ἦλθεν Ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, καὶ ὅτι νῦν ἀπεστάλη· ἵνα μή τις [c] ταῦτα ἀκούων, E διὰ τὴν τοῦ μαρτυροῦντος πρόσφατον παρουσίαν, καὶ περὶ τοῦ μαρτυρουμένου τοιαύτην τινὰ ὑπόνοιαν λάβῃ, ἀνήγαγε τὴν διάνοιαν, καὶ πρὸς τὴν ἐπέκεινα πάσης ἀρχῆς παρέπεμψεν ὕπαρξιν, τὴν οὐδαμοῦ λήγουσαν οὐδὲ ἱσταμένην. Καὶ πῶς ἔνι τοῦτο, [d] φησὶν, Υἱὸν ὄντα ἔχειν; Περὶ Θεοῦ διαλεγόμεθα, καὶ τὸ πῶς ἐρωτᾷς; 45
A καὶ οὐ δέδοικας, οὐδὲ φρίττεις; Εἶτα ἂν μέν σε ἔρηταί τις, πῶς δὲ ἡμῶν ἀτελεύτητον ἕξουσιν αἱ ψυχαὶ τὴν ζωὴν καὶ τὰ σώματα μετὰ ταῦτα; καταγελάσῃ τῆς πεύσεως, ὡς οὐκ ἂν ἀνθρωπίνης διανοίας ὂν τὰ

HOMILIA VII.

9. *Erat lux vera, quæ illuminat omnem hominem venientem in hunc mundum.*

1. Ideo, dilectissimi filii, vos minutatim et per partes Scripturarum doctrina pascimus, neque simul omnia effundimus, ut facilior vobis sit emissi verbi custodia. Nam in ædificiis, qui antequam priores lapides conjuncti sint, alios superimponit, non firmum, sed facile ruiturum struit parietem; qui autem exspectat donec calce firmentur, et sic paulatim cætera adjicit, tutam, firmam diuque duraturam domum excitat. Hos ædium structores et nos imitemur, eodemque modo vestras ædificemus animas. Timemus enim, ne recens cum sit prior structura, secundæ additæ speculationes, priores pessumdent, cum mens nequeat omnia simul continere. Quid igitur hodie lectum est? *Erat lux vera quæ illuminat omnem hominem venientem in hunc mundum.* Qui enim supra de Joanne disserens, dicebat eum venisse, *Ut testimonium perhiberet de lumine*, et nunc missum esse; ne quis hæc audiens, ob nuperum testificantis adventum, de eo cui testimonium ferebatur aliquam suspicionem admitteret, mentes erexit, et ad omni principio superiorem exsistentiam transmisit, quæ nullum habitura finem est. Et quomodo possunt hæc esse, inquies, cum sit Filius? De Deo loquimur, et tu interrogas quomodo? neque times vel horrescis? Ad hæc, si quis quærat a te, quomodo animæ et corpora immortali vita fruitura sint, interrogationem illam ridebis, quasi non sit humanæ mentis quærere, sed credere tantum oporteat; neque dictum illud scrutari, cujus sufficiens sit demonstratio

[b] Sic Mss. quidam recte. Savil. autem et Morel. μιμούμεθα... οἰκοδομοῦμεν, quæ ad seriem Chrysostomi non tam bene quadrare videntur.

[c] Savil. αὐτά.

[d] Quidam ἄνθρωπον ὄντα ἔχειν υἱόν. Paulo post Savil. [cum Codd. 705 et 706.] φρίττεις; ἀλλ' ἄν. Morel. φρίττεις; εἶτα ἄν.

dicentis potentia; sin autem illum qui et animas et corpora creavit, et nulla comparatione creaturam universam exsuperat, sine principio esse dicamus, tu interrogabis quomodo id factum sit? Ecquis sanæ mentis hæc esse dixerit? quis bene valentis animi et ratiocinii? Audistis illud, *Erat lux vera*. Quid frustra contendis, ut infinitam illam vitam ratiocinio assequaris, quæ non potest attingi? quid quæris ea quæ exquiri nequeunt? cur incomprehensibilia scrutaris? cur examinas ea quæ examini non subjacent? Solarium radiorum perquire radicem; non poteris assequi, neque tamen indignaris, neque ægre fers imbecillitatem tuam. Cur ergo in majoribus audax es et temerarius? Joannes filius tonitrui, qui spirituali tuba canit, ubi illud, *Erat*, a Spiritu audivit, nihil ultra quæsivit : et tu non pari gratia donatus, qui ex infirmis ratiociniis tuis loqueris, cognitionis illius terminum transcendere conaris? Ideoque non parem ei, quam ille habuit, notitiam unquam assequeris. Hujusmodi namque est diaboli calliditas : eos qui illi obsequuntur, extra terminos a Deo nobis positos transfert, quasi longe ulteriora attingere possimus : postquam autem hac spe inescatos a divina gratia extrusit, tunc demum non modo nihil ultra addit; quomodo enim id faceret, diabolus cum sit? sed nec sinit ut ad priora, in queis tuto versabamur, redeamus; verum circum quaque agit errantes, qui nusquam consistere possimus. Sic primum parentem ex paradiso excidere curavit. Cum enim illum spe majoris scientiæ et honoris inflasset, etiam illum ab iis quibus tranquille fruebatur ejecit. Non modo enim non factus est æqualis Deo, ut ipsi pollicebatur, sed sub mortis tyrannidem detrusit; nec solum a ligni esu nihil accepit, sed etiam ex illa quam habebat scientia non parum amisit, idque spe majoris adipiscendæ. Nam tunc primum de nuditate erubescere cœpit, cum antea omni pudore et rubore superior fuisset. Illud etiam quod se nudum esse adverteret, quod vestibus exinde egeret, illud, inquam, et alia plurima tristia acciderunt. Quod ne nobis quoque contingat, Deo obtemperemus, ejus præcepta observemus, et nihil ulterius curiose perquiramus; ut ne ex nobis concessis excidamus donis, quod et illis accidit.

Incomprehensibilia Dei non scrutanda.

τοιαῦτα ζητεῖν, ἀλλὰ δεῖν πιστεύειν μόνον καὶ μὴ περιεργάζεσθαι τὸ εἰρημένον, ἀρκοῦσαν ἔχοντα ἀπόδειξιν τοῦ λεχθέντος τὴν δύναμιν τοῦ εἰρηκότος· ἂν δὲ τὸν ψυχὰς καὶ σώματα ἐργασάμενον, καὶ τῆς κτίσεως ἁπάσης ἀσυγκρίτως ὑπερέχοντα, ἄναρχον εἶναι φῶμεν, τὸν τρόπον ἡμᾶς ἀπαιτήσεις; Καὶ τίς ἂν ταῦτα καθεστηκυίας εἶναι φαίη ψυχῆς; [a] τίς δὲ ὑγιαίνοντος λογισμοῦ; Ἤκουσας ὅτι Ἦν τὸ φῶς τὸ ἀληθινόν. Τί φιλονεικεῖς εἰκῇ καὶ μάτην ὑπερακοντίσαι τῷ B λογισμῷ τὴν ἄπειρον ταύτην ζωήν; Οὐδὲ γὰρ οἷόν τε. Τί ζητεῖς τὰ ἀζήτητα; τί περιεργάζῃ τὰ ἀκατάληπτα; [b] τί ἐρευνᾷς τὰ ἀνεξερεύνητα; Κατανόησον τῶν ἡλιακῶν ἀκτίνων τὴν ῥίζαν αὐτήν· ἀλλ' οὐ δυνήσῃ, καὶ ὅμως οὐκ ἀγανακτεῖς, οὐδὲ δυσχεραίνεις ἐπὶ τῇ ἀσθενείᾳ. Πῶς οὖν ἐν τοῖς μείζοσι τολμηρὸς γέγονας καὶ προπετής; Ὁ τῆς βροντῆς υἱὸς Ἰωάννης, [c] ὁ ἀπὸ τῆς σάλπιγγος ἠχῶν τῆς πνευματικῆς, τὸ, Ἦν, ἀκούσας παρὰ τοῦ Πνεύματος, οὐδὲν ἐπεζήτησε πλέον· σὺ δὲ ὁ τῆς χάριτος ἀμοιρῶν τῆς ἐκείνου, καὶ ὁ ἀπὸ τῶν δειλῶν φθεγγόμενος λογισμῶν, ὑπερβῆναι C τὸ μέτρον τῆς ἐκείνου γνώσεως φιλονεικεῖς; [d] Διὰ τοῦτο τοιγαροῦν οὐδὲ πρὸς τὸ μέτρον τῆς ἐκείνου γνώσεως ἀφικέσθαι δυνήσῃ. Τοιαύτη γὰρ ἡ τοῦ διαβόλου μεθοδεία· ἐξάγει μὲν τῶν παρὰ τοῦ Θεοῦ δοθέντων ὅρων ἡμῖν τοὺς πειθομένους αὐτῷ, ὡς ἐπὶ πολλῷ μείζοσιν· ὅταν δὲ ταῖς ἐλπίσι ταύταις δελεάσας ἐκβάλῃ τῆς τοῦ Θεοῦ χάριτος, τότε λοιπὸν οὐ μόνον οὐδὲν πλέον προσδίδωσι, (πῶς γὰρ διάβολος ὤν;) ἀλλ' οὐδὲ εἰς τὰ πρότερα, ἔνθα ἀσφαλῶς καὶ βεβαίως διετρίβομεν, ἀφίησιν ἐπανελθεῖν, ἀλλὰ πανταχοῦ περιάγει πλανωμένους, καὶ οὐκ ἔχοντας οὐδαμοῦ στῆναι. Οὕτω καὶ τὸν πρωτόπλαστον ἐκ τῆς τοῦ παραδείσου διαγωγῆς ἐποίησεν ἐκπεσεῖν. Προσδοκίᾳ γὰρ μείζονος γνώσεως καὶ τιμῆς φυσήσας αὐτὸν, καὶ τῶν τότε ὑπαρ- D χόντων αὐτῷ μετὰ ἀδείας ἐξέβαλεν. Οὐ γὰρ μόνον ἰσόθεος οὐ γέγονε, καθὼς ὑπισχνεῖτο αὐτῷ, ἀλλὰ καὶ εἰς τὴν τοῦ θανάτου τυραννίδα [e] ἐξέπεσεν, οὐ μόνον οὐδὲν πλέον ἀπὸ τῆς τοῦ ξύλου βρώσεως προσλαβὼν, ἀλλὰ καὶ τῆς γνώσεως ἧς εἶχεν οὐ μικρὸν ἀπολέσας, [f] ἐλπίδι πλείονος γνώσεως. Τό τε γὰρ αἰσχύνεσθαι καὶ καταδύεσθαι ἐπὶ τῇ γυμνότητι, τότε αὐτῷ προσεγένετο, πρὸ τῆς ἀπάτης ἀνωτέρω ταύτης ὄντι τῆς αἰσχύνης. Αὐτό τε γὰρ τὸ ὁρᾷν ἑαυτὸν γυμνὸν ὄντα, καὶ δεῖσθαι λοιπὸν τῆς ἀπὸ τῶν ἱματίων περιβολῆς, καὶ ἕτερα αὐτῷ πλείονα ἐντεῦθεν ἔφυ πάθη τότε. Ὅπερ ἵνα μὴ καὶ ἡμεῖς E πάθωμεν, πειθώμεθα τῷ Θεῷ, καὶ μένωμεν ἐν οἷς

[a] Sic Morel. et Mss. omnes. Savil. ἢ ὑγιαίνοντος.

[b] Sic Morel. τί ἐρευνᾷς. Savil. τί ἰχνεύεις.

[c] Sic Morel. Savil. ὁ τὴν σάλπιγγα ἔχων τὴν πνευματικὴν, τὸ ἦν, ἀκούσας παρὰ.

[d] Sic Savil. Morel. διὰ τοῦτο αὐτοῦ οὐδὲ πρὸς τὸ μέτρον ἀφ.

[e] Morel. ἐξέπεσεν. Savil. [et Codd. 705 et 706] κατέπεσεν.

[f] Sic Savil. Morel. ἐλπίδι πλείονος γνώσεως τοῦτο παθών. ὅ τε γάρ.

αὐτὸς ἡμῖν προσέταξε, καὶ μηδὲν περαιτέρω πολυπραγμονῶμεν, ἵνα μὴ καὶ τῶν ἤδη δοθέντων ἡμῖν ἐκπέσωμεν ἀγαθῶν, καθάπερ καὶ οὗτοι πεπόνθασι. Τῆς γὰρ ἀνάρχου ζωῆς ἀρχὴν ἐπιζητοῦντες εὑρεῖν, 46 καὶ ἅπερ ἠδύναντο ἔχειν ἀπώλεσαν. Οὔτε γὰρ τὸ ζη- A τούμενον εὗρον· οὐδὲ γάρ ἐστι δυνατόν· καὶ τῆς ὑγιοῦς περὶ τοῦ Μονογενοῦς ἐξέπεσον πίστεως. Ἀλλ' ἡμεῖς μὴ μεταίρωμεν ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν, ἀλλ' εἴκωμεν πανταχοῦ τοῖς τοῦ Πνεύματος νόμοις, καὶ ἀκούοντες ὅτι Ἦν τὸ φῶς τὸ ἀληθινὸν, μηδὲν πλέον ἐπιζητῶμεν εὑρεῖν· οὐδὲ γὰρ ἔνι ταύτην ὑπερβῆναι τὴν ῥῆσιν. Εἰ μὲν γὰρ ὡς ἄνθρωπος ἐγέννα, ἀνάγκη μέσον εἶναί τι τοῦ γεννῶντος καὶ τοῦ γεννωμένου· ἐπειδὴ δὲ ἀῤῥήτως καὶ ὡς Θεῷ πρέπον ἐστὶ, τοῦ πρὸ καὶ τοῦ μετὰ ἀναχώρει· τῶν χρόνων γὰρ ταῦτα ὀνόματα· ὁ δὲ Υἱὸς καὶ τῶν αἰώνων πάν- B των ἐστὶ ποιητής.

Dum enim vitæ principio carentis principium perquirunt, etiam illa quæ habere poterant amiserunt. Neque enim id quod quærebant invenerunt; non enim poterant; atque a sana circa Unigenitum fide exciderunt. At nos ne transferamus terminos antiquos, quos posuerunt patres nostri, et ubique Spiritus sancti legibus cedamus : et cum audimus, *Erat lux vera*, nihil ulterius inquiramus : neque enim ultra possumus pertingere. Nam si Deus ut homo genuisset, necessario interstitii quidpiam fuisset genitorem inter et genitum; sed quia ineffabili modo et ut Deum decet genuit, abstine ab his vocibus, *ante* et *post* : hæc quippe temporum nomina sunt : Filius vero etiam sæculorum omnium conditor est.

Οὐκοῦν οὐ πατὴρ, φησὶν, ἀλλ' ἀδελφός. Ποία ἀνάγκη, εἰπέ μοι; Εἰ μὲν γὰρ καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἐξ ἑτέρας ἐλέγομεν εἶναι ῥίζης, καλῶς ἂν ταῦτα ἔφης τότε. Εἰ δὲ ταύτην μὲν φεύγομεν τὴν ἀσέβειαν, λέγομεν δὲ τὸν μὲν Πατέρα [a] πρὸς τὸ ἄναρχον εἶναι, μηδὲ γεγεννῆσθαι· τὸν δὲ Υἱὸν ἄναρχον εἶναι, γεγεννημένον δὲ ἐκ τοῦ Πατρὸς, ποία ἀνάγκη ἐκ τῆς ἐννοίας ταύτης τὸν ἀσεβῆ λόγον ἐκεῖνον ἐπεισελθεῖν; Οὐδεμία. Ἀπαύγασμα γάρ ἐστι· τὸ δὲ ἀπαύγασμα συνεπινοεῖται τῇ φύσει, ἧς ἐστιν ἀπαύγασμα. C Διὰ γὰρ τοῦτο καὶ ὁ Παῦλος τοῦτον οὕτως ἐκάλεσεν, ἵνα μηδὲν μέσον ὑποπτεύσῃς Πατρὸς καὶ Υἱοῦ. Τοῦτο μὲν οὖν τούτου δηλωτικόν· τὸ δὲ ἐφεξῆς τοῦ ὑποδείγματος, τὴν [b] ὑφορμῶσαν τοῖς ἀνοήτοις ἀτοπίαν διορθοῦται. Μὴ γὰρ, ἐπειδὴ ἀπαύγασμα, φησὶν, ἤκουσας, τῆς ἰδίας αὐτὸν ἀπεστερῆσθαι νομίσῃς ὑποστάσεως. Ἀσεβὲς γὰρ τοῦτο, καὶ τῆς τῶν Σαβελλιανῶν καὶ τῶν ἀπὸ Μαρκέλλου μανίας. Ἡμεῖς δὲ οὐχ [c] οὕτως, ἀλλὰ καὶ ἐν ἰδίᾳ αὐτὸν ὑποστάσει εἶναί φαμεν. Διὰ τοῦτο εἰπὼν αὐτὸν ἀπαύγασμα, ἐπήγαγεν, ὅτι Καὶ χαρα- D κτὴρ ἐστι τῆς ὑποστάσεως αὐτοῦ, ἵνα τὴν ἰδίαν ὑπόστασιν δηλώσῃ καὶ τῆς αὐτῆς ὄντα αὐτὸν οὐσίας, ἧς ἐστι καὶ χαρακτήρ. Οὐ γὰρ ἀρκεῖ μιᾷ λέξει, καθάπερ ἔφθην εἰπὼν, τὰ περὶ Θεοῦ παραστῆσαι δόγματα τοῖς ἀνθρώποις· ἀλλὰ ἀγαπητὸν, ἂν πολλὰ συμφορήσαντες, ἐξ ἑκάστου τὸ πρέπον ἐπιλεξώμεθα. Οὕτω γὰρ δυνησόμεθα τῆς ἀξίας ἐφικέσθαι δοξολογίας· ἀξίας δὲ λέγω, κατὰ τὴν ἡμετέραν δύναμιν. Εἰ γάρ τις πρὸς αὐτὴν τὴν ὄντως ἀξίαν εἰπεῖν δύνασθαι νομίζοι, καὶ φιλονεικοίη, λέγων οὕτως εἰδέναι τὸν Θεὸν ὡς αὐτὸς οἶδεν ἑαυτὸν, οὗτος μάλιστά ἐστιν ὁ τὸν Θεὸν ἀγνοῶν. Ταῦτ'

2. Ergo non pater, ait, sed frater est. Quæ necessitas, quæso? Nam si Patrem et Filium ex alia et diversa radice ortos diceremus, hæc jure dicere posses : sin hanc vitamus impietatem, dicimusque Patrem sine principio esse, nec genitum fuisse; Filium vero sine principio quidem esse, sed genitum a Patre, quæ necessitas ex hac cogitatione, impium illum inferre sermonem? Nulla sane. Etenim splendor est; splendor autem simul intelligitur cum natura illa, cujus est splendor. Ideo enim Paulus illum sic vocavit, ut nihil medium suspicareris inter Patrem et Filium : id enim hoc nomine significatur. Post hoc exemplum, eam quæ hinc apud insanos suboriri poterat absurditatem corrigit. Ne, inquit, quoniam splendorem audisti, ipsum propria hypostasi privari putes. Nam impium hoc esset, et Sabellianorum Marcellianorumque insania. Nos autem non ita sentimus, sed ipsum in propria sibi hypostasi esse dicimus : ideo postquam illum splendorem appellaverat, intulit, *Et character substantiæ illius*, ut propriam hypostasin significaret, ostenderetque ipsum ex eadem esse substantia, cujus character est. Neque enim satis est verbum unum, ut jam dixi, ad illa de Deo dogmata hominibus significanda : sed optandum ut multis simul allatis, ex singulis quod conveniat seligamus. Ita enim poterimus digne gloriam Dei celebrare; digne scilicet secundum facultatem nostram. Si quis enim de illa digne se loqui posse putet, atque asseveret se ita Deum nosse, ut ipse se novit, is maxime Deum ignorat.

Vera de Patre et de Filio doctrina.

Sabbellianorum et Marcellianorum insania.

Hebr. 1. 3.

Contra Anomœos.

[a] Morel. et quidam Mss. πρὸς τό. Savil. et alii [Cod. 706 e corr.] πρὸς τῷ.

[b] Savil. et Morel. ὑφορμοῦσαν. Mss. quidam ὑφορμῶσαν.

[c] [οὕτω φαμὲν, ἀλλὰ... εἶναι ὑποστάσει. διὰ Savil. et Cod. cit.]

Hæc cum sciamus, diligenter retineamus ea quæ tradidere nobis ii qui ab initio ipsis oculis viderunt, et ministri fuere Verbi, neque ultra curiose scrutemur. Duo namque damna hoc morbo laborantes invadent : quod temere laborent illa quærendo, quæ invenire nequeunt; et quod Deum in iram provocent, dum ab ipso positos terminos evertere conantur. Quod quantopere iram Dei concitet, non opus est vobis dicere, cum id omnes sciatis. Quamobrem missa illorum arrogantia, Dei verba cum tremore audiamus, ut ille perpetuo nos
Isai. 66. 2. tueatur : nam ait, *Ad quem respiciam nisi ad mansuetum et humilem, et quietum, et trementem verba mea?* Hac igitur missa curiositate, conteramus corda, peccata lugeamus, ut Christus jussit, de sceleribus nostris compungamur, ac diligenter animo repetamus ea quæ hactenus admisimus delicta; studeamus illa omnino abluere. Ad hanc quippe rem multas Deus nobis aperuit vias.
Isai. 43. 26. *Dic tu prior*, inquit, *iniquitates tuas, ut justificeris;* et rursus, *Dixi, Confitebor adversum me*
Psal. 31. 5. *injustitiam meam Domino, et tu remisisti impietatem cordis mei.* Neque enim parum nobis
Peccata quomodo abluantur. confert ad minuendam peccatorum molem frequens eorum memoria et accusatio. Est et alia efficacior via, si nemini eorum, qui in nos peccarunt, succenseamus; si omnibus iis, qui in nos deliquerunt, delicta condonemus. Vis et tertiam ediscere viam?
Dan. 4. 24. Audi Danielem dicentem : *Quamobrem peccata tua eleemosynis redime, et iniquitates tuas misericordia erga pauperes.* Est et alia, nempe orationum frequentia, et in precibus ad Deum emissis perseverantia. Affert etiam nobis consolationem non modicam et remissionem peccatorum jejunium, quando cum benignitate erga alios conjunctum est, atque iræ Dei vehementiam exstin-
Eccli. 3. 30. guit. *Ignem enim flammantem aqua exstinguet, et eleemosynis peccata purgantur.* In his ergo viis omnibus gradiamur. Si enim in iis semper versemur, si in iis omne studium insumamus, non modo præterita peccata abluemus, sed etiam in futuro maxima lucrabimur. Neque enim diabolo locum offeremus nos invadendi, neque in segnitiem vel in perniciosam curiositatem incidemus. Per hæc enim atque alia, insanas illas quæstiones, noxiasque disputationes inducit, quod otiosos desidesque videat, et nullam vitæ probæ curam gerentes. At nos hunc illi aditum obstruamus, vigi-

E οὖν εἰδότες, μένωμεν κατέχοντες μετὰ ἀσφαλείας ἃ παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Λόγου, καὶ μηδὲν περαιτέρω περιεργαζώμεθα. Δύο γὰρ τοῖς ταύτην νοσοῦσι τὴν νόσον περιέσται τὰ δεινά· τό τε εἰκῇ ταλαιπωρεῖσθαι, ζητοῦντας ἅπερ εὑρεῖν οὐ δυνατόν· τό τε παροξῦναι τὸν Θεὸν, τοὺς παρ' αὐτοῦ τεθέντας ὅρους ἀνατρέπειν ἐπιχειροῦντας. Ὅσην δὲ τοῦτο κινεῖ τὴν ὀργὴν, οὐδὲν δεῖ παρ' ἡμῶν μαθεῖν, πάντας εἰδότας ὑμᾶς. Διὸ τῆς ἀπονοίας
47 αὐτῶν ἀφέμενοι, τρέμωμεν αὐτοῦ τοὺς λόγους, ἵνα
A διηνεκῶς ἡμᾶς τειχίζῃ· Ἐπὶ τίνα γὰρ ἐπιβλέψω, φησὶν, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ταπεινὸν, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους; Ἀφέντες τοίνυν τὴν ὀλεθρίαν ταύτην πολυπραγμοσύνην, συντρίψωμεν τὰς καρδίας, πενθήσωμεν τὰ ἡμαρτημένα ἡμῖν, καθὼς προσέταξεν ὁ Χριστὸς, κατανυγῶμεν ἐπὶ τοῖς πλημμεληθεῖσιν ἡμῖν, ἀναλογισώμεθα μετὰ ἀκριβείας τὰ κατὰ τὸν ἔμπροσθεν ἡμῖν ἅπαντα τολμηθέντα χρόνον, σπουδάσωμεν αὐτὰ ἀποτρίψασθαι παντοδαπῶς. Πολλὰς γὰρ εἰς τοῦτο ὁ Θεὸς ἀνέῳξεν ἡμῖν ὁδούς. Λέγε γὰρ σὺ, φησὶ, πρῶτος, τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς· καὶ πάλιν, [a]Εἶπα, τὴν ἀνομίαν μου ἐξαγορεύσω κατ' ἐμοῦ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς
B καρδίας μου. Οὐδὲ γὰρ μικρὸν ἡμῖν συντελεῖ πρὸς τὸ μειῶσαι τῶν ἁμαρτημάτων τὸ μέγεθος ἡ συνεχὴς αὐτῶν κατηγορία καὶ μνήμη. Ἔστι καὶ ἑτέρα ταύτης ἐνεργεστέρα ὁδὸς, τὸ μηδενὶ τῶν εἰς ἡμᾶς ἡμαρτηκότων μνησικακεῖν, τὸ πᾶσι τοῖς εἰς ἡμᾶς πλημμεληθεῖσι συγχωρεῖν τὰ πλημμελήματα. Βούλει καὶ τρίτην μαθεῖν; Ἄκουσον τοῦ Δανιὴλ λέγοντος· Διὸ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων. Ἔστι δὲ καὶ ἑτέρα μετὰ ταύτης, ἡ τῶν εὐχῶν συνέχεια, καὶ τὸ προσεδρεύειν
C [b]μετὰ καρτερίας ταῖς πρὸς τὸν Θεὸν ἐντεύξεσι. Φέρει τινὰ παραμυθίαν ἡμῖν οὐ μικρὰν καὶ λύσιν τῶν ἡμαρτημένων καὶ νηστεία ὁμοίως, ὅταν μετὰ τῆς εἰς ἑτέρους φιλανθρωπίας γίνηται, καὶ σβέννυσι τὸ σφοδρὸν τῆς ὀργῆς τοῦ Θεοῦ. Πῦρ γὰρ φλογιζόμενον σβέσει ὕδωρ, καὶ ἐλεημοσύναις ἀποκαθαίρονται ἁμαρτίαι. Ταύτας τοίνυν πάσας ὁδεύωμεν τὰς ὁδούς. Ἂν γὰρ ἐν τούτοις ὦμεν διαπαντὸς, ἂν εἰς ταῦτα τὴν σχολὴν ἀναλίσκωμεν, οὐ μόνον τὰ παρελθόντα [c]ἀπονιψόμεθα πλημμελήματα, ἀλλὰ καὶ εἰς τὸ μέλλον τὰ μέγιστα κερδανοῦμεν. Οὐ γὰρ παρέξομεν τῷ διαβόλῳ σχολὴν προσβάλλειν ἡμῖν, οὔτε εἰς ῥᾳθυμίαν βίου, οὔτε εἰς
D τὴν ὀλεθρίαν περιεργίαν. Καὶ γὰρ [d]καὶ ταῦτα μετὰ τῶν ἄλλων καὶ ἐντεῦθεν τὰς ἀνοήτους ζητήσεις καὶ τὰς λογομαχίας τὰς ἐπιβλαβεῖς ἐπάγει, ἐκ τοῦ σχολάζον-

[a] εἶπα deest in Savil. Mox Morel. ἀφῆκας, Savil. ἀφεῖλες.
[b] Morel. post προσεδρεύειν adjicit δέ.
[c] Quidam ἀπονιπτόμεθα.
[d] Morel καὶ ταῦτα. Savil. καὶ τούτοις.

τας ὁρᾷν καὶ ἀργοῦντας, καὶ μηδεμίαν τῆς κατὰ τὸν βίον ἀρετῆς πρόνοιαν ποιουμένους. Ἀλλ' ἡμεῖς αὐτῷ ταύτην τὴν παρείσδυσιν ἀποφράξωμεν, γρηγορήσωμεν, νήψωμεν, ἵνα ἐν τῷ βραχεῖ τούτῳ χρόνῳ καμόντες ὀλίγα, τῶν ἀθανάτων ἐν τοῖς ἀπείροις αἰῶσι τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν E Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

lemus, sobrii simus, ut postquam hoc brevi tempore modicum laboraverimus, immortalibus per infinita sæcula fruamur bonis, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri, et una Spiritui sancto gloria, in sæcula sæculorum. Amen.

ΟΜΙΛΙΑ η'.

48 A

Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

Οὐδὲν [a] γὰρ κωλύει καὶ τήμερον τῶν αὐτῶν ἅψασθαι ῥημάτων, ἐπειδὴ πρώην ὑπὸ τῆς τῶν δογμάτων ἐξηγήσεως ἐκωλύθημεν ἅπασι τοῖς ἀναγνωσθεῖσιν ἐπεξελθεῖν. Ποῦ τοίνυν εἰσὶν οἱ μὴ λέγοντες αὐτὸν ἀληθινὸν Θεόν; Ἐνταῦθα μὲν γὰρ φῶς ἀληθινὸν εἴρηται· ἑτέρωθι δὲ, αὐτοαλήθεια, καὶ αὐτοζωή. Ἀλλ' ἐκείνῳ μὲν τῷ λόγῳ, ὅταν ἐκεῖ γενώμεθα, σαφέστερον ἐπεξελευσόμεθα· κατὰ δὲ τὸ παρὸν, ἀναγκαῖον τέως ἐκεῖνο C πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν. Εἰ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, πῶς ἀφώτιστοι μεμενήκασι τοσοῦτοι; Οὐ γὰρ δὴ πάντες ἐπέγνωσαν τοῦ Χριστοῦ τὸ σέβας. Πῶς οὖν φωτίζει πάντα ἄνθρωπον; Τό γε εἰς αὐτὸν ἧκον. Εἰ δέ τινες ἑκόντες τοὺς τῆς διανοίας ὀφθαλμοὺς μύσαντες, [b] μὴ βούλοιντο παραδέξασθαι τοῦ φωτὸς τούτου τὰς ἀκτῖνας, οὐ παρὰ τὴν τοῦ φωτὸς φύσιν ἡ σκότωσις ἐκείνοις, ἀλλὰ παρὰ τὴν κακουργίαν τῶν ἑκόντι ἀποστερούντων ἑαυτοὺς τῆς δωρεᾶς. Ἡ μὲν γὰρ χάρις εἰς πάντας ἐκκέχυται, οὐκ Ἰουδαῖον, οὐχ Ἕλληνα, οὐ βάρβαρον, οὐ Σκύθην, D οὐκ ἐλεύθερον, οὐ δοῦλον, οὐκ ἄνδρα, οὐ γυναῖκα, οὐ πρεσβύτην, οὐ νέον ἀποστρεφομένη· πάντας δὲ ὁμοίως προσιεμένη καὶ μετὰ τῆς ἴσης καλοῦσα τιμῆς. Οἱ δὲ οὐκ ἐθέλοντες ἀπολαῦσαι τῆς δωρεᾶς ταύτης, ἑαυτοῖς δίκαιοι ταύτην ἂν εἶεν λογίσασθαι τὴν πήρωσιν. Ὅταν γὰρ τῆς εἰσόδου πᾶσιν ἀνεῳγμένης, καὶ μηδενὸς τοῦ κωλύοντος ὄντος, ἐθελοκακοῦντές τινες ἔξω μένωσι, παρ' οὐδένα ἕτερον, ἀλλ' ἢ παρὰ τὴν οἰκείαν πονηρίαν ἀπόλλυνται μόνον. Ἐν τῷ κόσμῳ ἦν· ἀλλ' οὐχ ὡς τοῦ κόσμου σύγχρονος, ἄπαγε. Διὰ γὰρ τοῦτο ἐπήγαγε· Καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο· διὰ τούτου σε E πάλιν ἀνάγων ἐπὶ τὴν προαιώνιον ὕπαρξιν τοῦ Μονο-

HOMILIA. VIII.

Erat lux vera, quæ illuminat omnem hominem venientem in hunc mundum.

1. Nihil enim prohibet, quominus hodie eadem verba expendamus, quia nuper dogmatum expositio impedimento fuit, quominus omnia quæ lecta fuerant explicaremus. Ubi sunt igitur illi, qui dicunt ipsum verum Deum non esse? Hic enim lux vera appellatur; alibi vero ipsa veritas, ipsa vita. Verum illud, cum eo pervenerimus, apertius indagabimus : in præsenti autem necesse est id interim caritati vestræ recensere. Si illuminat omnem hominem venientem in hunc mundum, quomodo tot homines non illuminati manent? Non enim omnes Christi cultum agnoscunt. Quomodo ergo illuminat omnem hominem? Quantum in ipso est. Si qui vero sponte sua mentis oculos claudentes, hujus lucis radios percipere nolint, non ex natura lucis evenit quod in tenebris maneant, sed ex nequitia eorum qui sponte se hoc privant munere. Gratia quippe in omnes effusa est; non Judæum, non Græcum, non barbarum, non Scytham, non liberum, non servum, non virum, non mulierem, non senem, non juvenem aversatur; sed omnes similiter admittit, et cum pari vocat honore. Qui vero nolunt hoc frui dono, hanc sibi ipsis cæcitatem imputent oportet. Cum enim aditu omnibus patente, et a nemine intercluso, quidam ex voluntaria nequitia extra manent, ii suo tantum vitio pereunt. *In mundo erat* : at non tamquam mundo coætaneus; absit. Ideo intulit, *Et mundus per ipsum factus est* : per hæc rursum te inducit ad illam Unigeniti ante sæcula exsistentiam. Nam qui audivit hunc universum mun-

Christus lux cur non omnes illuminet.

v. 6.

[a] Savil. et pauci Mss. [705 et 706] οὐδὲν κωλύει. Morel. et multo plures οὐδὲν γὰρ κωλύει. Ubi illud γὰρ ad titulum refertur.

[b] μὴ βούλοιντο. Sic Savil. et omnes pene Mss. Morel. vero οὐκ ἠθέλησαν.

dum illius esse opus, etiamsi sensu prorsus careat, etiamsi inimicus et adversarius gloriæ Dei sit, attamen velit nolit, conditorem ante opificia fuisse confiteri cogetur. Quamobrem mirari semper subit Pauli Samosateni insaniam, quomodo tam manifestæ veritati obsistere potuerit, seseque sponte præcipitem dederit. Neque enim ex ignorantia, sed rei admodum gnarus erravit, non secus ac Judæi. Quemadmodum enim illi, ut hominibus assentarentur, sanam prodidere fidem, gnari ipsum Unigenitum Dei esse, principum vero metu id non confitentes, ne ex synagoga ejicerentur : ita et illum in mulieris cujuspiam gratiam, salutem suam inquiunt prodidisse. Gravis enim, gravis certe et inanis gloriæ tyrannis, quæ possit etiam sapientium oculos excæcare, nisi vigilent. Nam si munera id possunt, multo magis hic affectus longe violentior. Idcirco Judæis dicebat Christus : *Quomodo potestis credere, qui gloriam ab hominibus accipitis, et gloriam, quæ a solo Deo est, non quæritis?* 10. ***Et mundus eum non cognovit.*** Hic mundum vocat multitudinem corruptam et terrenis rebus inhiantem, turbam, vulgus, insipientem populum. Nam Dei amici et admirabiles viri omnes ipsum, etiam ante incarnationem, noverant. De patriarcha quippe nominatim dicit Christus : *Abraham pater vester exsultavit, ut videret diem meum : et vidit, et gavisus est.* De Davide autem Judæos confutans : *Quomodo ergo David in Spiritu vocat eum Dominum, dicens : Dixit Dominus Domino meo, Sede a dextris meis?* Ac sæpe illis obsistens, Moysem memorat. De reliquis vero prophetis apostolus. Omnes enim prophetas a Samuele illum cognovisse, et adventum ejus diu ante prænuntiasse dicit Petrus his verbis : *Et omnes prophetæ a Samuele et deinceps qui loquuti sunt, annuntiaverunt dies istos.* Jacobo autem et patri, necnon et avo ejus, et visus et loquutus est, iisque multa et magna se daturum est pollicitus, quæ etiam exsequutus est. Quomodo ergo, inquies, ipse dixit, *Multi prophetæ voluerunt videre quæ videtis, et non viderunt, et audire quæ auditis, et non audierunt?* Annon fuerunt ejus cognitionis participes? Fuerunt certe : idque

Pauli Samosateni insania.

Joan. 5. 44.

Joan. 8. 56.

Matth. 22. 43. 44.

Act. 3. 24.

Luc. 10. 24.

Prophetæ quomodo

γενοῦς. Ὁ γὰρ ἀκούσας ὅτι ἔργον αὐτοῦ τόδε τὸ πᾶν, κἂν σφόδρα ἀναίσθητος ᾖ, κἂν ἐχθρὸς, κἂν πολέμιος τῆς δόξης τοῦ Θεοῦ, πάντως καὶ ἑκὼν καὶ ἄκων ἀναγκασθήσεται πρὸ τῶν ἔργων ὁμολογῆσαι τὸν ποιητήν. Ὅθεν μοι καὶ θαυμάζειν ἔπεισιν ἀεὶ τὴν Παύλου τοῦ Σαμοσατέως μανίαν, πῶς πρὸς τὴν οὕτω φανερὰν ἀλήθειαν ἀντιβλέψαι ἐτόλμησε, καὶ ἑκὼν ἑαυτὸν κατεκρήμνισεν. Οὐδὲ γὰρ ἀγνοῶν, ἀλλὰ καὶ σφόδρα εἰδὼς E [c] ἡμάρτανε, ταὐτὸν παθὼν τοῖς Ἰουδαίοις. Καθάπερ γὰρ ἐκεῖνοι πρὸς ἀνθρώπους ὁρῶντες, τὸ τῆς πίστεως προὔδωκαν ὑγιὲς, εἰδότες μὲν ὅτι αὐτός ἐστιν [d] ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ δὲ τοὺς ἄρχοντας οὐχ ὁμολογοῦντες, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· οὕτω 49 A καὶ τοῦτον γυναικί τινι χαριζόμενον, τὴν σωτηρίαν φασὶν ἀποδόσθαι τὴν ἑαυτοῦ. Δεινὸν γὰρ, ὄντως δεινὸν τῆς κενοδοξίας ἡ τυραννὶς, καὶ σοφῶν ὀφθαλμοὺς ἐκτυφλοῦν ἱκανὸν, ὅταν μὴ νήφωσιν. Εἰ γὰρ ἡ δωροδοκία τοῦτο ἰσχύει, πολλῷ μᾶλλον τὸ ταύτης βιαιότερον πάθος. Διὰ τοῦτο καὶ Ἰουδαίοις ἔλεγεν ὁ Χριστός· Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; Καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Ἐνταῦθα κόσμον τὸ πλῆθός φησι, τὸ διεφθαρμένον καὶ τοῖς γηΐνοις προστετηκὸς πράγμασι, τὸν χυδαῖον, καὶ ταραχώδη, καὶ ἀνόητον λαόν. Ὡς οἵ γε τοῦ Θεοῦ φίλοι καὶ θαυμαστοὶ πάντες αὐτὸν ἐπέγνωσαν καὶ πρὸ τῆς ἐνB σάρκου παρουσίας. Καὶ περὶ μὲν τοῦ πατριάρχου καὶ αὐτὸς ὀναμαστί φησιν ὁ Χριστὸς, ὅτι Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε καὶ ἐχάρη. Καὶ περὶ τοῦ Δαυὶδ δὲ Ἰουδαίους ἐλέγχων ἔλεγε· Πῶς οὖν Δαυὶδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ λέγων· εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; Καὶ πολλαχοῦ πρὸς ἐκείνους ἱστάμενος Μωϋσέως μέμνηται· περὶ δὲ τῶν λοιπῶν προφητῶν ὁ ἀπόστολος. Πάντας γὰρ τοὺς προφήτας ἀπὸ Σαμουὴλ ἐγνωκέναι φησὶν ὁ Πέτρος αὐτὸν, καὶ τὴν παρουσίαν αὐτοῦ πόῤῥωθεν προαναφωνεῖν, οὕτω λέγων· Καὶ πάντες οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς C ἡμέρας ταύτας. Τῷ δὲ Ἰακὼβ καὶ τῷ πατρὶ τῷ τούτου, ὥσπερ οὖν καὶ τῷ πάππῳ, καὶ ἐφάνη καὶ διελέχθη, καὶ πολλὰ καὶ μεγάλα ὑπέσχετο δώσειν ἀγαθὰ, ἅπερ οὖν καὶ εἰς ἔργον ἐξήνεγκε. Πῶς οὖν, φησὶν, αὐτὸς ἔλεγε· Πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν;

[c] Morel. ἐξήμαρτε. Savil. et Mss. ἡμάρτανε.

[d] Unus ὁμογενής, male. Quod mox dicit Chrysostomus, Paulum Samosatenum in mulieris cujusdam gratiam, γυναικί τινι χαριζόμενον, salutem suam prodidisse; de Zenobia Palmyrenorum regina intelligi debet, quæ Paulum Samosatenum aliquamdiu protexit. Quod autem dicit, Paulum in mulieris illius gratiam, et contra quam ipse sentiebat hæresim illam protulisse, nescio an alius unquam dixerit. Inter alia autem dicebat Paulus Samosatenus Filium in Patre quidem esse; sed non ἐνυπόστατον, non hypostasin habere suam, quod ad Sabellii hæresin accedebat.

* Ἆρα γὰρ οὐ μετέσχον τῆς γνώσεως τῆς εἰς αὐτόν; Πάνυ μὲν οὖν· καὶ τοῦτο καὶ ἀπὸ τῆς ῥήσεως ταύτης, ἐφ' ἧς νομίζουσί τινες αὐτοὺς ἀπεστερῆσθαι, πειράσομαι ποιῆσαι φανερόν. Πολλοὶ γὰρ, φησὶν, ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε. Ὥστε ᾔδεσαν αὐτὸν ª ἥξοντα εἰς ἀνθρώπους, καὶ οἰκονομήσοντα, ἅπερ καὶ ᾠκονόμησεν. D Οὐ γὰρ ἂν, εἰ μὴ ᾔδεσαν, ἐπεθύμησαν. Οὐδεὶς γὰρ ὧν μηδὲ ἔννοιαν ἔχει, τούτων λαβεῖν ἐπιθυμίαν δυνήσεται. Ὥστε ᾔδεσαν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ ὅτι ἥξει εἰς ἀνθρώπους. Τίνα οὖν ἐστιν ἅπερ οὐκ ᾔδεσαν, καὶ τίνα ἅπερ οὐκ ἤκουσαν; Ταῦτα ἃ νῦν ὑμεῖς βλέπετε ᵇ καὶ ἀκούετε. Εἰ δὲ καὶ φωνῆς ἤκουσαν, καὶ εἶδον αὐτὸν ἐκεῖνοι, ἀλλ' οὐκ ἐν σαρκὶ, οὐδὲ οὕτω τοῖς ἀνθρώποις συναναστρεφόμενον, οὐδὲ μετὰ τοσαύτης αὐτοῖς ὁμιλοῦντα τῆς ἀδείας. Τοῦτο γοῦν καὶ αὐτὸς δηλῶν, οὐχ ἁπλῶς εἶπεν, ἐπεθύμησαν ἰδεῖν ἐμέ· ἀλλὰ τί; Ἃ E ὑμεῖς βλέπετε· οὐδὲ ἀκοῦσαι ἐμοῦ· ἀλλὰ τί; Ἃ ὑμεῖς ἀκούετε. Ὥστε εἰ καὶ μὴ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν ἐθεάσαντο, ἀλλ' ὅμως ᾔδεσαν αὐτὴν ἐσομένην, ἧς καὶ ἐπεθύμουν· καὶ ἐπίστευον εἰς αὐτὸν, καὶ μὴ ἑωρακότες αὐτὸν ἐν σαρκί. Ὅταν οὖν ἐγκαλῶσιν ἡμῖν 50 Ἕλληνες ταῦτα λέγοντες· τί δὲ τὸν ἔμπροσθεν ἐποίει A χρόνον ὁ Χριστὸς, τὸ τῶν ἀνθρώπων οὐκ ἐπισκοπούμενος γένος; καὶ τί δήποτε ἐν ἐσχάτῳ τῆς ἡμετέρας ἦλθεν ἀντιληψόμενος σωτηρίας, τοσοῦτον ἀμελήσας χρόνον ἡμῶν; ἐροῦμεν, ὅτι καὶ πρὸ τούτου ἐν τῷ κόσμῳ ἦν, καὶ προενόει τῶν ἔργων αὐτοῦ, καὶ γνώριμος τοῖς ἀξίοις ἅπασιν ἦν. Εἰ δὲ διὰ τὸ μὴ πάντας αὐτὸν τότε ἐπεγνωκέναι, ἀλλὰ παρὰ τῶν γενναίων αὐτὸν καὶ ἐναρέτων ª ἐκείνων μόνων ἐγνῶσθαι, φαίητε μὴ γνωρίζεσθαι, κατὰ τοῦτο οὐδὲ νῦν ὁμολογήσετε προσκυνεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀνθρώπων, ἐπειδὴ μηδὲ νῦν ἅπαντες αὐτὸν ἴσασιν. Ἀλλ' ὥσπερ ἐπὶ τοῦ παρόντος οὐδεὶς ἂν διὰ τοὺς ἀγνοοῦντας αὐτὸν τοῖς εἰδόσι διαπιστήσειεν· οὕτως οὐδὲ ὑπὲρ τῶν ἔμπροσθεν χρόνων ἀμφισβητεῖν B χρὴ, ὅτι πολλοῖς, μᾶλλον δὲ πᾶσιν ἔγνωστο τοῖς γενναίοις καὶ θαυμασίοις ἀνδράσιν ἐκείνοις.

Εἰ δὲ λέγοι τις, καὶ τίνος ἕνεκεν μὴ πάντες προσεῖχον αὐτῷ, μηδὲ πάντες αὐτὸν ἐθεράπευον τότε, ἀλλὰ μόνοι οἱ δίκαιοι; ἐρήσομαι κἀγὼ, τίνος ἕνεκεν μηδὲ νῦν ἅπαντες αὐτὸν ἴσασι; Καὶ τί λέγω περὶ τοῦ Χριστοῦ; Τὸν γὰρ Πατέρα τὸν τούτου, διατί μὴ πάντες, μήτε τότε, μήτε νῦν ἔγνωσαν; Ἀλλ' οἱ μὲν αὐτομάτως ἅπαντα φέρεσθαι λέγουσιν, οἱ δὲ δαιμονίοις

ex hoc loco, unde putant quidam ipsos hac cognitione privatos, demonstrare tentabo. *Multi* enim, inquit, *voluerunt videre quæ videtis*. Itaque viderunt eum ad homines venturum esse, et ea dispensaturum quæ vere dispensavit. Neque enim, nisi novissent, videre concupivissent. Nemo enim eorum, quorum notitiam non habet, desiderio capi potest. Itaque cognoverunt Filium Dei, et venturum eum ad homines esse noverunt. Quænam ergo sunt quæ nescierunt, et quænam quæ non audierunt? Hæc quæ nunc vos videtis et auditis. Quod si illi et vocem ejus audierunt, et viderunt eum, at non in carne, neque ita cum hominibus versantem, neque tam libere cum ipsis loquentem. Hoc igitur et ipse significans non simpliciter dixit, Cupierunt videre me; sed quid? *Quæ vos videtis;* neque audire me; sed quid? *Quæ vos auditis.* Itaque licet ejus in carne adventum non viderint, futurum tamen esse noverunt, quem videre cupiebant; in eumque credebant, licet illum in carne non vidissent. Cum itaque nos gentiles accusaverint dicentes: Quid priori illo tempore faciebat Christus, cum nondum humano generi prospiceret? et cur extremo tempore venit ut nostræ saluti provideret, postquam tanto tempore nos neglexerat? respondebimus, ipsum etiam ante adventum illum in mundo fuisse, de operibus ab se edendis prius cogitasse, atque illis omnibus cognitum fuisse, qui hac cognitione digni erant. Quod si quia non omnibus tunc notus fuit, sed probis tantum et virtute præditis, ideo dicitis illum incognitum fuisse, eadem ratione ipsum nunc quoque non adorari ab hominibus dixeritis, quia etiam nunc non omnes ipsum noverunt. Sed quemadmodum in præsenti nemo, quia a multis ignoratur, ipsum a multis cognosci negaverit: sic neque dubitandum est ipsum superioribus illis temporibus, a multis, imo etiam probis illis et admirandis viris omnibus cognitum fuisse.

Christum noverunt.

2. Quod si quis dixerit, Cur non omnes tunc ipsi adhæserunt, neque omnes ipsum coluerunt, sed soli justi? sciscitabor et ego, Cur etiam nunc non omnes ipsum noverunt? Ecquid de Christo loquor? Nam Patrem quoque ejus cur non omnes et tunc et hodie noverunt? Verum alii omnia temere ferri dicunt; alii dæmonibus universi pro-

* [ἀρ' οὖν οὐ Savil. et Cod. 705.]

ª Morel. ἥξοντα εἰς ἀνθρώπους. Savil. ἐκ τῶν οὐρανῶν. Savil. in notis legendum putat ἐκ τῶν οὐρανῶν εἰς ἀνθρώπους. At ex duobus si alterum dicatur, alterum subintelligitur.

ᵇ Alii καὶ ἀκούετε. καὶ γὰρ φωνῆς ἤκουσαν, καὶ εἶδον αὐτὸν, ἀλλ' οὐκ.

ª Morel. ἐκείνων μόνον.

videntiam tribuunt: sunt etiam alii, qui præter hunc Deum, alium sibi comminiscuntur: ex iis quidam adversariam Deo potestatem esse blasphemant, et leges ejus maligni dæmonis esse putant? Quid igitur? num ideo dicemus Deum non esse, quia quidam hoc dicunt? num et ipsum malum esse confitebimur, quia quidam id impie profitentur? Apage stultitiam extremamque dementiam. Nam si ex furentium judicio dogmata statueremus, nihil obesset quominus et ipsi furore gravissimo duceremur. Certe nemo solem natura sua oculis perniciosum esse dixerit, quia nonnulli oculis laborant; sed lucidus dicitur ex eorum qui sanos oculos habent judicio: mel quoque nemo amarum dixerit, quia infirmis quibusdam tale videtur esse; et Deum tamen ex infirmorum opinione vel non esse, vel malum esse, vel modo providere, modo non providere, quidam pronuntiabunt? Ecquis illos sanæ mentis esse dicat? quis non furiosos et extrema dementia captos dixerit? *Mundus eum non cognovit*, inquies. Sed ii quibus dignus non erat mundus, ipsum noverunt. Cum autem memorat eos qui ipsum non noverunt, carptim ignorantiæ causam indicat. Neque enim simpliciter dixit, Nemo ipsum novit; sed, *Mundus eum non cognovit;* id est, ii homines qui mundo tantum hærent, et ea quæ mundi sunt sapiunt. Sic enim solet Christus ipsos appellare,
Joan. 17. 25. ut cum dicit, *Pater sancte, et mundus te non cognovit*. Non igitur Filium tantum, sed etiam Patrem ejus mundus ignoravit, ut dicebamus. Nihil enim ita mentem turbat, ut rebus præsentibus inhiare. Hæc cum sciatis, a mundo vos segregate, et a carnalibus rebus abscedite, quantum fieri poterit: neque enim in re nullius pretii hinc damnum oritur, sed in capite bonorum. Neque enim potest homo, qui præsentis ævi rebus admodum hæret, cælestia recte percipere: sed necesse
Luc. 16. 13. est eum, quibus addictus est, ab illis excidere: *Non potestis* enim, inquit, *Deo servire et mammonæ;* ut uni hæreamus, alterum odisse oportet. Hæc ipsa rerum experientia clamat. Qui enim pecuniarum concupiscentiam derident, ii maxime sunt qui Deum ut decet amant; quemadmodum et qui a principio illas mirantur, ii præsertim sunt qui Deum remissius diligunt. Anima enim divitiarum amore semel capta, non facile absistet ab iis agendis, quæ Deum ad iram pro-

τὴν τοῦ παντὸς ἐπιτρέπουσι πρόνοιαν· εἰσὶ δὲ οἳ καὶ
C ἕτερον παρὰ τοῦτον ἀναπλάττουσι θεόν· τινὲς δὲ αὐτῶν καὶ τὴν ἀντικειμένην εἶναι βλασφημοῦσιν [b] αὐτοῦ δύναμιν, καὶ τοὺς νόμους αὐτοῦ, πονηροῦ τινὸς δαίμονος εἶναι νομίζουσι; Τί οὖν; παρὰ τοῦτο οὔτε Θεὸν αὐτὸν φήσομεν εἶναι, ἐπειδή τινές εἰσιν οἱ τοῦτο λέγοντες, καὶ πονηρὸν αὐτὸν ὁμολογήσομεν εἶναι; καὶ γὰρ καὶ τοῦτό εἰσιν οἱ βλασφημοῦντες αὐτόν. Ἄπαγε τῆς παραφροσύνης καὶ τῆς ἐσχάτης παραπληξίας. Εἰ γὰρ μέλλοιμεν ἀπὸ τῆς τῶν μαινομένων κρίσεως χαρακτηρίζειν τὰ δόγματα, οὐδὲν κωλύει μαίνεσθαι καὶ αὐτοὺς μανίαν χαλεπωτάτην. Εἶτα, ἥλιον μὲν οὐδεὶς λυμαντικὸν ὀφθαλμῶν εἶναι φήσει διὰ τοὺς νοσοῦντας τὰς
D ὄψεις, ἀλλὰ φωτιστικὸν, ἀπὸ τῶν ὑγιαινόντων λαμβάνων τὰς κρίσεις· καὶ τὸ μέλι δὲ οὐδεὶς πικρὸν προσερεῖ, ἐπειδὴ τοῦτο τῇ αἰσθήσει τῶν ἀῤῥώστων δοκεῖ· τὸν δὲ Θεὸν ἀπὸ τῆς τῶν ἀσθενούντων ὑπολήψεως, ἢ μὴ εἶναι, ἢ πονηρὸν εἶναι, ἢ ποτὲ μὲν προνοεῖν, ποτὲ δὲ μηδὲ ὅλως τοῦτο ποιεῖν ψηφιοῦνταί τινες; Καὶ τίς ἂν τοὺς τοιούτους ὑγιαίνειν φήσειεν, ἀλλ' οὐκ ἐξεστηκέναι καὶ παραπαίειν, καὶ μαίνεσθαι τὴν ἐσχάτην μανίαν; Ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, φησίν. Ἀλλ' ὧν ὁ κόσμος οὐκ ἦν ἄξιος, οὗτοι αὐτὸν ἔγνωσαν.
E Εἰπὼν δὲ καὶ τοὺς μὴ γνόντας αὐτὸν, ἐν βραχεῖ καὶ τὴν αἰτίαν τῆς ἀγνοίας ἔθηκεν. Οὐ γὰρ ἁπλῶς εἶπεν, ὅτι οὐδεὶς αὐτὸν ἔγνω, ἀλλ' ὅτι Ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· τουτέστιν, οἱ τῷ κόσμῳ μόνῳ προσηλωμένοι, καὶ τὰ τοῦ κόσμου φρονοῦντες ἄνθρωποι. Οὕτω γὰρ εἴωθε καλεῖν αὐτοὺς καὶ ὁ Χριστὸς, ὡς ὅταν λέγῃ· Πάτερ ἅγιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω. Οὐκ ἄρα αὐτὸν μόνον, ἀλλὰ καὶ τὸν Πατέρα αὐτοῦ ὁ κόσμος ἠγνόησε,
51 A καθάπερ ἐλέγομεν. Οὐδὲν γὰρ οὕτω θολοῖ διάνοιαν, ὡς τὸ προστετηκέναι τοῖς παροῦσι. Ταῦτ' οὖν εἰδότες, ἀποστήσατε ἑαυτοὺς τοῦ κόσμου, καὶ τῶν σαρκικῶν ἀποῤῥήξατε πραγμάτων, καθόσον οἷόν τε. Οὐδὲ γὰρ ἐν τοῖς τυχοῦσιν ὑμῖν ἀπὸ τούτων ἡ ζημία γίνεται, ἀλλ' ἐν τῷ κεφαλαίῳ τῶν ἀγαθῶν. Οὐ γὰρ ἔστιν ἄνθρωπον τῶν κατὰ τὸν παρόντα βίον ἀντεχόμενον πραγμάτων σφοδρῶς δυνηθῆναι ἐπιλαβέσθαι τῶν ἐν τοῖς οὐρανοῖς [a] γνησίως· ἀλλὰ ἀνάγκη τὸν περὶ ταῦτα ἐσπουδακότα ἐκείνων ἐκπεσεῖν· Οὐ δύνασθε γὰρ, φησὶ, Θεῷ δουλεύειν καὶ μαμωνᾷ· ἀνάγκη γὰρ ἑνὸς ἔχεσθαι, καὶ τὸν ἕτερον μισεῖν. Καὶ ταῦτα καὶ αὐτὴ τῶν πρα-
B γμάτων ἡ πεῖρα βοᾷ· Οἱ γοῦν τῆς τῶν χρημάτων ἐπιθυμίας καταγελάσαντες, οὗτοι μάλιστά εἰσιν οἱ τὸν Θεὸν ἀγαπῶντες ὡς χρή· ὥσπερ οὖν οἱ τὴν ἀρχὴν ἐκείνην θαυμάζοντες, οὗτοι μάλιστα πάντων εἰσὶν [b] οἱ ἀμβλυτέραν τὴν περὶ αὐτὸν ἀγάπην ἔχοντες. Ψυχὴ

[b] Morel. *αὐτὸν δύναμιν*. Savil *αὐτοῦ δύναμιν*.
[a] Sic Savil. et Mss. Morel. *γνησίων*, male.
[b] Savil. *οἱ ῥαθυμοτέραν*. Morel. *οἱ ἀμβλυτέραν*. Utraque lectio quadrat: Saviliana quibusdam nititur Mss. [Codd. 705, 706.]

γὰρ καθάπαξ ὑπὸ φιλοχρηματίας ἁλοῦσα, οὐ ῥᾳδίως
οὐδὲ εὐκόλως παραιτήσεται καὶ πρᾶξαι καὶ εἰπεῖν
τι τῶν παροξυνόντων τὸν Θεὸν, ἅτε καὶ ἑτέρου γενομέ-
νη δεσπότου δούλη, καὶ πάντα ἀπεναντίας ἐπιτάττον-
τος τῷ Θεῷ. Ἀνανήψατε τοίνυν ποτὲ καὶ διεγέρθητε,
καὶ ἐννοήσαντες τίνος ἐσμὲν οἰκέται, τὴν τούτου βασι-
λείαν ἀγαπήσωμεν μόνην· κλαύσωμεν, θρηνήσωμεν
ὑπὲρ τῶν ἔμπροσθεν χρόνων, ὧν ἐδουλεύσαμεν τῷ μα-
μωνᾷ· ῥίψωμεν αὐτοῦ καθάπαξ τὸν ζυγὸν, τὸν ἀφόρη- C
τον καὶ τὸν βαρὺν, καὶ μένωμεν φέροντες τὸν τοῦ
Χριστοῦ, τὸν κοῦφον καὶ ῥᾷστον· οὐδὲν γὰρ ἐπι-
τάττει τοιοῦτον ἡμῖν οἷον ὁ μαμωνᾶς. Οὗτος μὲν γὰρ
ἐχθροὺς κελεύει πᾶσι γίνεσθαι· ὁ δὲ Χριστὸς τοὐναν-
τίον, ἅπαντας ἀσπάζεσθαι καὶ φιλεῖν. Ἐκεῖνος τῷ
πηλῷ καὶ τῇ πλινθείᾳ προσηλώσας (τοῦτο γάρ ἐστιν ὁ
χρυσός), οὐδὲ τὰς νύκτας ἀφίησιν ἀναπνεῦσαι μικρόν·
οὗτος τῆς μὲν περιττῆς ταύτης καὶ ἀνοήτου [c] φροντίδος
ἀπαλλάττει, κελεύει δὲ συνάγειν τοὺς θησαυροὺς ἐν
τοῖς οὐρανοῖς, οὐκ ἐκ τῆς εἰς ἑτέρους ἀδικίας, ἀλλ' ἐκ
τῆς οἰκείας δικαιοσύνης. Ἐκεῖνος μετὰ τοὺς πολλοὺς
ἱδρῶτας καὶ τὰς ταλαιπωρίας οὔτε δύναται παραστῆ- D
ναι κολαζομένοις ἡμῖν ἐκεῖ καὶ κακῶς πάσχουσι διὰ
τοὺς αὐτοῦ νόμους, [d] καὶ ἐπιτείνει τὴν φλόγα· οὗτος
δὲ κἂν ποτήριον ἡμῖν ἐπιτάξῃ δοῦναι ψυχροῦ, οὐδὲ
τούτου τὸν μισθὸν καὶ τὴν ἀμοιβὴν ἀφίησιν ἡμᾶς
ἀπολέσαι ποτὲ, ἀλλὰ μετὰ πολλῆς ἀντιδίδωσι τῆς
δαψιλείας. Πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας, τῆς οὕτω
προσηνοῦς δεσποτείας καὶ τοσούτων γεμούσης ἀγαθῶν
ἀμελοῦντας, ἀχαρίστῳ καὶ ἀγνώμονι δουλεύειν τυ-
ράννῳ, καὶ οὐδὲν οὔτε ἐνταῦθα, οὔτε ἐκεῖ δυναμένῳ
τοὺς πειθομένους αὐτῷ καὶ [e] προσέχοντας ὠφελεῖν;
Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, οὐδὲ αὕτη ἡ ζημία E
μόνον, ὅτι οὐκ ἀμύνει κολαζομένοις· ἀλλ' ὅτι πρὸς
τούτῳ καὶ μυρίοις περιβάλλει κακοῖς, ὅπερ ἔφθην
εἰπὼν, τοὺς πειθομένους αὐτῷ. Τοὺς γὰρ πλείονας
τῶν ἐκεῖ κολαζομένων, ἀπὸ ταύτης ἴδοι τις ἂν κολα-
ζομένους τῆς αἰτίας, ὅτι χρήμασιν ἐδούλευσαν καὶ τὸ
χρυσίον ἠγάπησαν, καὶ τοῖς δεομένοις οὐκ ἐπήρκεσαν. 52
Ἅπερ ἵνα μὴ καὶ ἡμεῖς πάθωμεν, σκορπίσωμεν, δῶ- A
μεν τοῖς πένησιν, ἀπαλλάξωμεν τὴν ψυχὴν καὶ τῶν
ἐνταῦθα φροντίδων τῶν βλαβερῶν, καὶ τῆς ἐκεῖ διὰ
ταῦτα κειμένης ἡμῖν τιμωρίας. Ἀποθώμεθα δικαιοσύ-
νην ἐν οὐρανοῖς, ἀντὶ χρημάτων τῶν ἐπὶ γῆς συλλέξω-
μεν θησαυροὺς ἀναλώτους, θησαυροὺς δυναμένους
συναποδημῆσαι πρὸς τὸν οὐρανὸν ἡμῖν· δυναμένους
ἡμῖν κινδυνεύουσι παραστῆναι, καὶ ποιῆσαι τὸν κριτὴν
ἵλεων τότε· ὃν γένοιτο πάντας ἡμᾶς εὐμενῆ καὶ νῦν
καὶ κατ' ἐκείνην τὴν ἡμέραν [a] σχόντας, ἀπολαῦσαι

vocant, utpote quæ alteri serviat domino, qui in omnibus contra Dei mandata præcipiat. Vigilate itaque et expergiscimini, ac cogitantes cujusnam domini simus servi, ejus tantummodo regnum diligamus; lugeamus et præterita deplore- mus tempora, quibus mammonæ servivimus: abjiciamus semel jugum ejus grave et intolerabile, et jugum Christi leve et suave cum perseverantia feramus; qui nihil tale præcipit, quale mammona. Hic enim jubet nos omnibus inimicos esse; contra vero Christus, omnes amplecti et amare. Ille nos luto et lateribus affigens, hoc est auro, ne noctu quidem sinit nos vel paululum respirare; hic a superflua illa et insana cura nos liberat; sed jubet thesauros in cælo parare: non ex injuria aliis illata, sed ex propria justitia. Ille post multos sudores nostros et miserias non poterit adesse nobis, cum extremo supplicio puniemur, et ob leges ejus servatas mala patiemur; imo flammam accendet; hic si præcipiat poculum aquæ frigidæ dare, ne hujus quidem facti mercedem amitti sinet, sed large nos præmio donabit. Annon extremæ dementiæ fuerit, tam placida et tot bonis referta servitute neglecta, ingrato servire tyranno, qui neque hic, neque illic potest eos qui sibi obsequentes sunt juvare? Neque id solum mali et damni est, quod supplicio traditos non eruat; sed quod, ut dixi, sequaces suos innumeris obruat malis. Plurimos enim ex iis qui ibi cruciantur, videre est ideo supplicio traditos, quod pecuniis servierint et aurum amarint, egenisque non erogarint. Quæ ne nos quoque patiamur, dispergamus, demus pauperibus, animam nostram eruamus et a noxiis hujus vitæ curis, et a supplicio illic nobis parato: deponamus justitiam in cælis: loco terrenarum opum colligamus thesauros qui absumi nequeant, thesauros qui possint nobiscum in cælum pervenire, qui possint nobis periclitantibus patrocinari et judicem reddere propitium; quem utinam et nunc et in illa die propitium habentes, cum libertate bonis illis in cælo paratis iis qui recte diligunt eum, fruamur: gratia et beni-

Quantum discrimen inter servos Christi et servos mammonæ.

[c] Sic Morel., Savil. φροντίδος ἀφίησι.
[d] καὶ ἐπιτείνει. Boisius apud Savil. legendum putat ἀλλὰ καὶ ἐπιτείνει.
[e] Unus προσήκοντας.

[a] Morel. ἔχοντας. Savil. et Mss. σχόντας melius. [Mox Savil. et Codd. 705 et 706, ante χάριτι habent ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.]

gnitate Domini nostri Jesu Christi, quicum Patri gloria unaque sancto Spiritui, nunc et semper, et in sæcula sæculorum. Amen.

μετὰ πολλῆς παῤῥησίας τῶν ἡτοιμασμένων ἀγαθῶν ἐν τοῖς οὐρανοῖς, τοῖς ὡς χρὴ ἀγαπῶσιν αὐτόν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA IX.

11. *In propria venit, et sui eum non receperunt.*

1. Si priorum reminiscamini, quæ sequuntur C cum majori alacritate adjiciemus, utpote qui magnum impendere lucrum videamus. Ita enim vobis captu facilior sermo erit, si jam dictorum memineritis; nobisque non multo opus erit labore, cum vos ex discendi cupiditate acutius cætera dispicietis. Qui enim ea quæ tradita sunt semper amittit, doctore semper egebit, nec umquam sciet quidpiam; qui autem accepta custodit, et reliqua superaddit, cito ex discipulo magister erit, nec sibi solum, sed aliis quoque utilis. Hujusmodi spero fore hanc concionem, idque ex tanto vestro audiendi studio auguror. Age ergo, in vestris animis, quasi in tutissimo thesauro, argentum Do- D mini deponamus, et quæ nobis hodie proposita sunt, quantum nobis Spiritus gratia suppeditabit, explicemus. Dixerat, *Mundus eum non cognovit*, de antiquioribus illis temporibus loquens. Descendit deinde ad tempus prædicationis, et ait: *In propria venit, et sui eum non receperunt.* Suos hic Judæos vocat, ut populum peculiarem, vel etiam omnes homines tamquam ab ipso creatos. Ac quemadmodum supra de multorum amentia stupens, et de communi natura erubescens dicebat, mundum ab illo conditum, creatorem suum non cognovisse: sic et hoc loco Judæorum alio- E rumque multorum ingratum animum ægre ferens, in graviorem prorumpit accusationem, dicens: *Sui eum non receperunt*, etsi ipse ad illos venerit. Neque ipse solum, sed etiam prophetæ idipsum mirabundi dixerunt: necnon Paulus his de rebus
Psal. 17. 45. 46. obstupescens. Et prophetæ quidem ex persona Christi clamantes dixerunt: *Populus, quem non cognovi, servivit mihi: in auditu auris obedivit mihi. Filii alieni mentiti sunt mihi; filii* 83 A

ΟΜΙΛΙΑ θ'.

Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.

Ἂν τῶν προτέρων διαμνημονεύητε νοημάτων, μετὰ πλείονος προθυμίας καὶ τὰ ἑξῆς [b] ἐποικοδομήσομεν, ὡς ἐπὶ κέρδει τοῦτο ποιοῦντες μεγάλῳ. Οὕτω γὰρ ὑμῖν τε εὐμαθέστερος ἔσται ὁ λόγος, τῶν ἤδη λεχθέντων μεμνημένοις, [c] καὶ ἡμεῖς οὐ πολλοῦ δεησόμεθα πόνου, δυναμένων ὑμῶν διὰ τῆς πολλῆς φιλομαθείας ὀξύτερον τοῖς λοιποῖς ἐνορᾷν. Ὁ μὲν γὰρ ἀεὶ τὰ διδόμενα ἀπολλὺς, ἀεὶ δεήσεται τοῦ διδάξοντος, καὶ οὐδέποτε εἴσεται οὐδέν· ὁ δὲ ἅπερ ἂν λάβῃ φυλάττων, καὶ οὕτω τὰ λοιπὰ προσλαμβάνων, ταχέως ἀντὶ μαθητοῦ διδάσκαλος ἔσται, καὶ [d] οὐχ ἑαυτῷ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι χρήσιμος. Ὅπερ μάλιστα ταύτην ἔσεσθαι προσδοκῶ τὴν ἐκκλησίαν, ἀπὸ τῆς πολλῆς ταύτης τεκμαιρόμενος φιληκοΐας. Φέρε οὖν ὡς ἐν ἀσφαλεῖ θησαυροφυλακίῳ ταῖς ὑμετέραις ψυχαῖς τὸ ἀργύριον τοῦ Κυρίου παρακαταθώμεθα, καὶ τὰ σήμερον ἡμῖν προτεθέντα ἀναπτύξωμεν, ὡς ἂν ἡ τοῦ Πνεύματος παρέχῃ χάρις. Εἶπεν ὅτι Ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, περὶ τῶν ἄνω χρόνων λέγων. Κάτεισι λοιπὸν τῷ λόγῳ καὶ πρὸς τοὺς τοῦ κηρύγματος χρόνους, καί φησιν· Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ περιέλαβον· ἰδίους Ἰουδαίους λέγων νῦν, ὡς λαὸν περιούσιον, ἢ καὶ πάντας δὲ τοὺς ἀνθρώπους ὡς ὑπ' αὐτοῦ γεγενημένους. Καὶ καθάπερ ἀνωτέρω διαπορῶν ἐπὶ τῇ ἀνοίᾳ τῶν πολλῶν, καὶ ὑπὲρ τῆς κοινῆς αἰσχυνόμενος φύσεως ἔλεγεν, ὅτι ὁ κόσμος δι' αὐτοῦ γενόμενος, τὸν δημιουργὸν οὐκ ἐγνώρισεν· οὕτω καὶ ἐνταῦθα πάλιν, ἐπὶ τῇ τῶν Ἰουδαίων καὶ τῇ τῶν πολλῶν δυσανασχετῶν ἀγνωμοσύνῃ, πληκτικώτερον τίθησι τὴν κατηγορίαν, λέγων, ὅτι Οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον, καὶ ταῦτα αὐτὸν ἐλθόντα πρὸς αὐτούς. Καὶ οὐχ οὗτος [e] μόνον, ἀλλὰ καὶ οἱ προφῆται θαυμάζοντες ἔλεγον τὸ αὐτὸ δὴ τοῦτο· καὶ Παῦλος δὲ ὕστερον ἐπὶ τοῖς αὐτοῖς ἐκπληττόμενος. Καὶ οἱ μὲν προφῆται οὕτως ἐβόων, ἐκ προσώπου τοῦ Χριστοῦ λέγοντες· Λαὸς, ὃν

[b] Morel. et Mss. quidam ἐποικονομήσομεν. Savil. et longe plures Mss. ἐποικοδομήσομεν.
[c] Savil. et Morel. καὶ ἡμεῖς. Quidam ἡμεῖς δέ.
[d] Savili οὐχ ἑαυτῷ μόνῳ.
[e] Savil. μόνος.

οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου· υἱοὶ ἀλλότριοι ἐψεύσαντό με, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. Καὶ πάλιν· Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι· καὶ, Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. Παῦλος δὲ Ῥωμαίοις ἐπιστέλλων ἔλεγε· Τί οὖν; ὃ ἐπεζήτει Ἰσραὴλ, τοῦτο οὐκ ἐπέτυχεν· ἡ δὲ ἐκλογὴ ἐπέτυχε. Καὶ πάλιν· Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην· Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. Καὶ γάρ ἐστιν ὄντως ἐκπλήξεως ἄξιον, πῶς οἱ μὲν ἐν ταῖς προφητικαῖς ἀνατραφέντες βίβλοις, καὶ τοῦ Μωϋσέως καθ' ἑκάστην ἀκούοντες τὴν ἡμέραν, μυρία περὶ τῆς τοῦ Χριστοῦ λέγοντος παρουσίας, καὶ τῶν λοιπῶν μετὰ ταῦτα προφητῶν, ἔτι τε αὐτὸν τὸν Χριστὸν θεώμενοι, καθ' ἑκάστην αὐτοῖς θαυματουργοῦντα, καὶ μόνοις [a] αὐτοῖς ὁμιλοῦντα, καὶ μήτε τοῖς μαθηταῖς συγχωροῦντα τέως εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν ἢ εἰς πόλιν Σαμαρειτῶν εἰσελθεῖν, μήτε αὐτὸν τοῦτο ποιοῦντα, ἀλλ' ἄνω καὶ κάτω λέγοντα, πρὸς τὰ πρόβατα ἀπεστάλθαι τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· [b] ὅμως καὶ τῶν σημείων ἀπολαύοντες, καὶ τῶν προφητῶν καθ' ἡμέραν ἀκούοντες, καὶ αὐτὸν συνεχῶς αὐτοὺς ἀναμιμνήσκοντα ἔχοντες, οὕτω καθάπαξ ἐπήρωσαν ἑαυτοὺς καὶ [c] ἐκώφωσαν, ὡς μηδενὶ τούτων ἐναχθῆναι πρὸς τὴν τοῦ Χριστοῦ πίστιν ἰσχῦσαι· οἱ δὲ ἐξ ἐθνῶν τούτων μὲν οὐδενὸς ἀπολαύσαντες, οὔτε θείων ποτὲ λογίων ἀκούσαντες, οὐδὲ ὅσον ὄναρ εἰπεῖν, ἀλλ' ἀεὶ τοῖς τῶν παραπαιόντων ἐνστρεφόμενοι μύθοις (τοῦτο γὰρ [d] ἡ τῶν ἔξωθεν φιλοσοφία), καὶ ποιητῶν λήρους ἀνελίττοντες, καὶ ξύλοις καὶ λίθοις προσηλωμένοι, καὶ οὔτε δογμάτων οὔτε πολιτείας ἕνεκεν εἰδότες τι χρηστὸν καὶ ὑγιές (καὶ γὰρ ὁ βίος αὐτοῖς τῶν δογμάτων ἀκαθαρτότερος ἦν καὶ * ἐναγέστερος. Πῶς δὲ οὐχ; Ἔμελλον τοὺς θεοὺς αὐτῶν πάσῃ κακίᾳ χαίροντας ὁρῶντες, καὶ δι' αἰσχρῶν μὲν ῥημάτων, δι' αἰσχροτέρων δὲ θεραπευομένους πραγμάτων, καὶ τοῦτο [e] νομίζοντας ἑορτὴν καὶ τιμήν· ἔτι γε μὴν καὶ δι' ἀκαθάρτων φόνων καὶ παιδοκτονιῶν [f] τιμωμένους, κἀκείνους εἰς ταῦτα ζηλοῦντες)· ἀλλ' ὅμως καὶ πρὸς αὐτὸν τὸν πυθμένα τῆς κακίας καταπεσόντες, ἐξαίφνης ὥσπερ

alieni inveterati sunt, et claudicaverunt a semitis suis. Et rursum : *Quibus non est narratum de eo, videbunt : et qui non audierunt, intelligent;* et, *Inventus sum a non quærentibus me: palam apparui iis qui me non interrogabant.* Paulus autem ad Romanos scribens dicebat : *Quid ergo? quod quærebat Israël, hoc non est consequutus : electio autem consequuta est.* Et iterum : *Quid ergo dicemus? Quod gentes, quæ non sectabantur justitiam, apprehenderunt justitiam : Israël vero sectando legem justitiæ, in legem justitiæ non pervenit.* Res est enim admiratione digna, quomodo ii qui in propheticis libris educati sunt, quique quotidie audiunt Moysen innumera de Christi adventu loquentem, necnon sequentium temporum prophetas, atque ipsum Christum quotidie miracula patrantem, cumque ipsis solis versantem, necdum permittentem discipulis ut in viam gentium abirent, aut in civitatem Samaritanorum ingrederentur, quod neque ipse faciebat, sed frequenter dicebat se missum esse ad oves quæ perierant domus Israël; attamen illi post tot signa in gratiam sui edita, cum prophetas quotidie audirent, ipsumque Christum assidue monentem, usque adeo cæcos atque surdos se præstiterint, ut nullo eorum ad fidem in Christum induci potuerint. Gentiles autem nihil horum consequuti, divina oracula ne in somnis quidem audierant : sed in fabulis insanientium versati (sic enim voco externam illam philosophiam) et poetarum deliramenta tractantes, lignis et lapidibus addicti erant, nec vel in doctrina vel in morum disciplina quidpiam sanum vel utile noverant; vita quippe illorum impurior quam doctrina scelestiorque erat. Quid autem aliud sperandum erat, cum deos suos viderent nullis non flagitiis gaudentes, atque obscœnis verbis, obscœnioribusque rebus cultos : hæc pro festis diebus et pro honore habentes : ad hæc etiam nefandis cædibus, puerorumque mactationibus honoratos, qua in re deos ipsi suos imitabantur. Attamen in ipsum nequitiæ profundum lapsi, repente quasi per quamdam machinam sublimes acti, ex ipso cælorum

Isai. 52. 15.
Ibid. 66. 1.
Rom. 11. 7.
Rom 9. 30.
Externa philosophia insanientium fabulæ.

[a] Savil. αὐτοῖς σχολάζοντα.

[b] Sic Morel.; Savil. καὶ μὴν καὶ τῶν σημείων καὶ τῶν προφητῶν ἀκούοντες. Mss. quoque variant, sed sine ulla sensus diversitate.

[c] Alii ἐκωφώθησαν, et mox ἀναχθῆναι. Ibidem post πίστιν Morel. addit ἰσχῦσαι, quod a Savilio et a Mss. plurimis abest.

[d] Morel. ἡ τῶν ἔξωθεν. Savil. ἡ τῶν ἔξω. Ibid. Savil. καὶ ποιητῶν. Morel. καὶ ποιηταί.

* [Savil. et Codd. 705, 706 ἐναγ.· καὶ μάλα εἰκότως. Οἱ γὰρ τοὺς θεοὺς α. π. κ. Legebatur in Montf. πῶς δὲ οὐκ ἔμελλον.]

[e] Mss. quidam νομίζοντες. [Mox alii ἔτι μήν.]

[f] [Savil. et Codd. cit. τιμ., πῶς οὐκ ἔμελλον ταῦτα ζηλοῦν; ἀλλ' ὅμως.]

vertice sublimes nobis apparuerunt. Id vero quo-
modo et unde evenit? Audi Paulum narrantem.
Beatus quippe ille, dum hæc diligenter inquireret,
non cessavit donec causam invenisset, ut omnibus
aperiret. Quænam illa est, et unde tanta cæcitas
ipsis obvenerat? Audi illum cui hoc ministerium
creditum fuerat. Quid ergo dicit, ut dubitationem
Rom. 10.3. multorum solvat? *Ignorantes justitiam Dei, et
quærentes propriam justitiam statuere, justitiæ
Dei non sunt subjecti.* Propterea ergo id passi
sunt. Ac rursus idipsum aliter explicans dicit :
Rom. 9.30.—32. *Quid ergo dicemus? Quod gentes quæ non
sectabantur justitiam, apprehenderunt justi-
tiam : justitiam autem quæ ex fide est. Israël
vero sectando legem justitiæ, in legem justitiæ
non pervenit. Dic qua de causa? Quia non ex
fide : impegerunt enim in lapidem offensionis;*
hoc est, incredulitas illis causa malorum fuit :
hanc vero peperit arrogantia. Quia enim antea plus
quam gentiles habentes, quod nempe legem acce-
pissent, Deum nossent, et alia quæ Paulus memo-
rat, post Christi adventum gentiles viderunt per
fidem cum pari secum honore vocatos, ac post
fidem nihil plus habere eum qui ex circumcisione
esset, quam eum qui ex gentibus accessisset: ex
superbia in invidiam delapsi sunt, atque ineffabi-
lem illam immensamque Domini benignitatem
non tulerunt : quod non aliunde processit, quam
ex arrogantia, nequitia et odio.

2. Quid enim, omnium stultissimi, illa in alios
effusa providentia vobis damni affert? num bona
vestra ex aliorum consortio minuebantur? Verum
cæca profecto malitia est, quæ quid deceat perci-
pere nequit. Exulcerati ergo quod in eadem liber-
tate consortes haberent, in se gladium impulerunt,
seque a divina benignitate ejecerunt; et jure qui-
Matth. 20. dem. Nam ait : *Amice, non facio tibi injuriam :
13. 14. volo autem et his dare sicut et tibi.* Imo ne qui-
dem hac responsione digni sunt. Ille namque etsi
ægre ferebat, poterat tamen diei totius labores,
ærumnas, æstum et sudorem proferre : hi vero
quid dicere possint? Nihil quidem tale; sed de-
sidiam, intemperantiam et mille vitia, quæ pro-
phetæ omnes incusantes illis perpetuo objicie-
bant : per quæ vitia illi perinde atque gentiles
Deum offenderent. Id quod declarans Paulus di-

ἔκ τινος μηχανῆς ἄνωθεν ἡμῖν καὶ ἀπ' αὐτῆς τῶν οὐ-
E ρανῶν τῆς κορυφῆς ἀνεφάνησαν διαλάμποντες. Πῶς
οὖν τοῦτο γέγονε, καὶ πόθεν; Ἄκουσον Παύλου λέ-
γοντος. Καὶ γὰρ ὁ μακάριος ἐκεῖνος ταῦτα ἀκριβῶς ζη-
τῶν, οὐκ ἀπέστη ἕως οὗ τὴν αἰτίαν εὗρε, καὶ τοῖς ἄλ-
54 λοις ταύτην ἐδήλωσεν ἅπασι. Τίς οὖν ἐστιν αὕτη; καὶ
A πόθεν ἡ τοσαύτη πώρωσις αὐτοῖς; Ἄκουσον αὐτοῦ τοῦ
τὴν οἰκονομίαν ταύτην ἐμπιστευθέντος ταῦτα λέγον-
τος. Τί οὖν οὗτος λέγει, τὴν διαπόρησιν τῶν πολλῶν
λύων ταύτην; Ἀγνοοῦντες, φησὶ, τὴν τοῦ Θεοῦ δι-
καιοσύνην, καὶ ζητοῦντες τὴν ἰδίαν δικαιοσύνην στῆσαι,
τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. [a] Διὸ ταῦτα
ἔπαθον. Καὶ πάλιν τὸ αὐτὸ τοῦτο ἑτέρως ἑρμηνεύων,
φησί· Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιο-
σύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ
πίστεως· Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς
νόμον δικαιοσύνης οὐκ ἔφθασεν. Εἰπὲ καὶ διατί; Ὅτι
οὐκ ἐκ πίστεως· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσ-
κόμματος. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἀπιστία τού-
B των γέγονεν αὐτοῖς αἰτία τῶν κακῶν· ταύτην δὲ ἔτε-
κεν ἡ ἀπόνοια. Ἐπειδὴ γὰρ πρὸ τούτου πλέον ἔχοντες
Ἑλλήνων, τῷ τὸν νόμον εἰληφέναι καὶ Θεὸν εἰδέναι,
καὶ τὰ ἄλλα ἅπερ ὁ Παῦλός φησι, μετὰ τὴν τοῦ Χρι-
στοῦ παρουσίαν εἶδον ἀπὸ τῆς πίστεως μετὰ τῆς αὐτῆς
ὁμοτιμίας καλουμένους κἀκείνους καὶ αὐτοὺς, καὶ οὐδὲν
πλέον ἔχοντα τὸν ἐκ περιτομῆς τοῦ ἐξ ἐθνῶν μετὰ τὴν
πίστιν· ἐδήχθησαν ὑπὸ ἀπονοίας εἰς βασκανίαν ἐλ-
θόντες, καὶ τὴν τοῦ Δεσπότου φιλανθρωπίαν τὴν ἄφα-
τον καὶ ὑπερβάλλουσαν οὐκ ἤνεγκαν. Τοῦτο δὲ αὐτοῖς
ἑτέρωθεν μὲν οὐδαμόθεν, ἐξ ἀλαζονείας δὲ καὶ πονη-
ρίας καὶ μισανθρωπίας γέγονε.

C Τί γὰρ, ὦ πάντων ὑμεῖς ἀνοητότεροι, κατεβλά-
πτεσθε ἐκ τῆς εἰς ἑτέρους γινομένης κηδεμονίας;
[b] πῶς δὲ τὰ ὑμέτερα ἠλαττοῦτο ἀγαθὰ, τῷ κοινωνοὺς
ἑτέρους ἔχειν τῶν αὐτῶν; Ἀλλὰ τυφλὸν ὄντως ἡ πο-
νηρία, καὶ τῶν δεόντων οὐδὲν δύναται συνιδεῖν τα-
χέως. Δηχθέντες τοίνυν τῷ κοινωνοὺς μέλλειν ἔχειν τῆς
αὐτῆς παῤῥησίας, καθ' ἑαυτῶν τὸ ξίφος ὤθησαν, τῆς
τοῦ Θεοῦ φιλανθρωπίας ἐκβαλόντες ἑαυτούς· καὶ
μάλα εἰκότως. Ἑταῖρε γὰρ, φησὶν, οὐκ ἀδικῶ σε·
θέλω δὲ καὶ τούτοις δοῦναι ὥσπερ καὶ σοί. Μᾶλλον δὲ
οὐδὲ τούτων ἄξιοι τῶν λόγων οὗτοι. Ἐκεῖνος μὲν γὰρ εἰ
D καὶ ἐδυσχέραινεν, ἀλλ' ὅμως ἔχων εἰπεῖν ἡμέρας ὁλο-
κλήρου πόνους, καὶ ταλαιπωρίας [c] καὶ θάλπη καὶ ἱδρῶ-
τας· οὗτοι δὲ τί ἔχοιεν ἂν εἰπεῖν; Τοιοῦτον μὲν οὐ-
δέν· ῥᾳθυμίαν δὲ καὶ ἀσωτίαν, καὶ τὰ μυρία κακὰ,
ἃ διαπαντὸς κατηγοροῦντες αὐτῶν διετέλουν οἱ προ-
φῆται πάντες, δι' ἃ καὶ αὐτοὶ ὁμοίως τοῖς ἔθνεσι

[a] Savil. in marg. διὰ ταῦτα οὐκοῦν ἔπαθον.

[b] Morel. et Mss. πῶς δέ. Savil. τί δέ. [Supra quidam κατεβλάπτεσθε.] In Mss. plurimis ἀλλὰ sequens deest.

[c] Morel. καὶ θάλπη, et sic Mss. quidam. Alii plures θάλπος. Savil. solus hujus vocis loco καύσωνας.

προσκεκρούκεσαν τῷ Θεῷ. Καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν· Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι. Καὶ τοῦτο μὲν ἅπαν τὸ κεφάλαιον χρησίμως καὶ σφόδρα συνετῶς κατ' ἐκείνην γυμνάζει τὴν ἐπιστολήν. Ἀνωτέρω δὲ καὶ μείζονος δείκνυσι κολάσεως ἀξίους εἶναι· Ὅσοι γὰρ ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται, E φησί· τουτέστι, χαλεπώτερον· μετὰ τῆς φύσεως καὶ τὸν νόμον κατήγορον ἔχοντες. Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ τῷ παρὰ τοῖς ἔθνεσι τοῦ τὸν Θεὸν βλασφημεῖσθαι γεγενῆσθαι αἴτιοι· Τὸ γὰρ ὄνομά μου, φησὶ, δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Ἐπεὶ οὖν τοῦτο μάλιστα ἦν τὸ δάκνον αὐτούς (καὶ γὰρ καὶ τοῖς πεπιστευκόσιν ἐκ περιτομῆς παράδοξον τὸ πρᾶ- A γμα εἶναι ἐδόκει· διὸ καὶ ἐνεκάλουν τῷ Πέτρῳ πρὸς αὐτοὺς ἀπὸ Καισαρείας ἐπανελθόντι, ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθε, καὶ συνέφαγεν αὐτοῖς· καὶ μετὰ τὸ μαθεῖν τὴν οἰκονομίαν τὴν τοῦ Θεοῦ, [a] πάλιν καὶ οὕτως ἐθαύμαζον, πῶς καὶ εἰς τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐκκέχυται, τῷ ἐκπλήττεσθαι ἐνδεικνύμενοι, ὡς οὐκ ἄν ποτε τοῦτο προσεδόκησαν τὸ παράδοξον)· ἐπεὶ οὖν ᾔδει ὅτι μάλιστα αὐτῶν τοῦτο [b] καθήπτετο, πάντα ποιεῖ ὅπως αὐτῶν τὸν τῦφον κενώσῃ, καὶ τὴν ἀλαζονείαν ἐκλύσῃ σφόδρα οἰδοῦσαν. Καὶ ὅρα πῶς τοῦτο ποιεῖ. Διαλεχθεὶς περὶ τῶν Ἑλληνικῶν, καὶ δείξας αὐτοὺς οὐδεμίαν ἔχοντας B οὐδαμόθεν ἀπολογίαν, οὐδὲ ἐλπίδα σωτηρίας, κατηγορήσας τε ἀκριβῶς καὶ τῆς τῶν δογμάτων αὐτῶν διαστροφῆς, καὶ τῆς περὶ τὸν βίον ἀκαθαρσίας, μετατίθησιν ἐπὶ τοὺς Ἰουδαίους τὸν λόγον· [c] καὶ τὰ ἀπὸ τοῦ προφήτου καταλέξας ἅπαντα δι' ὧν ἔλεγεν ἐκεῖνος, ὅτι μιαροί τινες ἦσαν καὶ δολεροὶ καὶ ὕπουλοι, καὶ πάντες ἅμα ἠχρειώθησαν, καὶ οὐδεὶς ἐν αὐτοῖς ἐκζητεῖ τὸν Θεὸν, ἀλλ' ἐξέκλιναν πάντες, καὶ ὅσα τοιαῦτα, ἐπήγαγεν· Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ. Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. Τί οὖν ἐπαίρεις σαυτὸν, ὦ Ἰουδαῖε; τί μέγα φρονεῖς; C Καὶ γὰρ καὶ τὸ σὸν ἐμπέφρακται στόμα, καὶ ἡ σὴ παῤῥησία ἀνῄρηται, καὶ μετὰ τοῦ κόσμου παντὸς καὶ σὺ γέγονας ὑπόδικος, καὶ ὁμοίως τοῖς ἄλλοις ἐν χρείᾳ καθέστηκας τοῦ δωρεὰν δικαιωθῆναι. Ἐχρῆν μὲν οὖν μηδὲ εἰ κατωρθωκὼς ἦς, καὶ παῤῥησίαν πολλὴν εἶχες πρὸς τὸν Θεὸν, μηδὲ οὕτω τοῖς μέλλουσιν ἐλεεῖσθαι καὶ σώζεσθαι διὰ φιλανθρωπίαν φθο-

Psal. 101. 27. propheta dicebat: *Omnes sicut vestimentum veterascent, et sicut opertorium mutabis eos, et mutabuntur. Tu autem idem ipse es, et anni tui non deficient.* Hæc quippe substantia omni mutatione superior est. Neque aliud quidpiam illo melius est, ut proficiendo possit ad illud pervenire. Quid dico melius? Nihil ei par est, vel tantillum ad illum accedit. Sequitur ergo ipsum in pejus mutatum esse si mutatus sit. Hoc autem non potest Deus esse. Sed blasphemia in caput eorum, qui hæc proferunt, vertatur. Quod enim illud, *Factum* est, ideo dictum sit, ut ne phantasiam esse suspiceris, animadverte ex iis quæ sequuntur, quomodo et dictum illud et pravam hanc suspicionem expurget. Subdit enim, *Et habitavit in nobis,* ac si diceret: Nihil absurdum suspiceris ex hoc dicto, *Factum est.* Non enim immutabilis naturæ mutationem, sed habitationem dixi. Habitatio autem non idipsum est quod habitaculum, sed aliud. Aliud enim in alio habitat; alias enim non esset habitatio: nihil enim in seipso habitat. Aliud vero dixi secundum substantiam. Nam unitate et conjunctione Deus Verbum et caro unum sunt: sine ulla confusione, vel substanrum ablatione, sed per unionem ineffabilem inexplicabilemque. Quomodo autem id fiat ne quæras; factum est enim ut ipse novit. Quodnam ergo fuit habitaculum, in quo habitavit? Audi prophe-

Amos. 9. 11. tam dicentem: *Suscitabo tabernaculum David, quod cecidit.* Vere namque cecidit, cecidit natura nostra casu incurabili, et potenti illa manu sola egebat. Neque enim poterat alio modo resurgere, nisi is qui in principio illam efformaverat, ipsi

ἀσεβείας καὶ τὴν παράνοιαν)· οὐ δὴ τοῦτο οὖν λέγει, ἀλλ' ὅτι τὴν καθ' ἡμῶν κατάραν δεξάμενος, οὐκ ἀφίησιν ἡμᾶς ἐπαράτους εἶναι λοιπόν· οὕτω δὴ καὶ ἐνταῦθα σάρκα, φησὶν, αὐτὸν γενέσθαι, οὐ μεταβαλόντα εἰς σάρκα τὴν οὐσίαν, ἀλλ' ἀναλαβόντα αὐτὴν, ἀνεπάφου μενούσης ἐκείνης. Εἰ δὲ λέγοιεν, ὅτι Θεὸς ὢν ἅπαντα δύναται, ὥστε καὶ εἰς σάρκα μεταπεσεῖν ἐδύνατο· ἐκεῖνο πρὸς αὐτοὺς ἐροῦμεν, ὅτι πάντα δύναται, ἕως

C ἂν μένῃ Θεὸς ὤν· εἰ δὲ μεταβολὴν ἐδέξατο, καὶ μεταβολὴν ἐπὶ τὸ χεῖρον, πῶς ἂν εἴη Θεός; Τὸ γὰρ μεταβάλλεσθαι, πόῤῥω τῆς ἀκηράτου φύσεως ἐκείνης. Διὸ καὶ ὁ προφήτης ἔλεγε· Πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Πάσης γὰρ [c] ἀνωτέρα μεταβολῆς ἡ οὐσία αὕτη. Οὔτε γὰρ κρεῖττόν τί ἐστιν αὐτοῦ, ὥστε προκόψαντα αὐτὸν ἐπὶ τοῦτο ἐλθεῖν. Τί λέγω [d] κρεῖττον;

D Οὐδὲν ἴσον, οὐδὲ μικρὸν ἐγγύς. Οὐκοῦν λείπεται τὴν ἐπὶ τὸ χεῖρον αὐτὸν δέξασθαι μεταβολὴν, εἴ γε μεταβάλλοιτο. Τοῦτο δὲ οὐκ ἂν εἴη Θεός. Ἀλλ' ἡ βλασφημία τραπείη εἰς τὴν τῶν ταῦτα λεγόντων κεφαλήν. Ὅτι γὰρ διὰ τοῦτο μόνον εἴρηται τὸ, Ἐγένετο, ἵνα μὴ φαντασίαν ὑπολάβῃς, σκόπει διὰ τῶν ἑξῆς, πῶς ἐκκαθαίρει τὸν λόγον καὶ τὴν ὑπόνοιαν ἀνατρέπει τὴν πονηράν.[e] Ἐπήγαγε γάρ· Καὶ ἐσκήνωσεν ἐν ἡμῖν· μονονουχὶ λέγων, μηδὲν ἄτοπον ὑποπτεύσῃς ἀπὸ τοῦ,

E Ἐγένετο. Οὐ γὰρ τροπὴν εἶπον τῆς ἀτρέπτου φύσεως ἐκείνης, ἀλλὰ σκήνωσιν καὶ κατοίκησιν. Τὸ δὲ σκηνοῦν, οὐ ταὐτὸν ἂν εἴη τῇ σκηνῇ, ἀλλ' ἕτερον. Ἕτερον γὰρ ἐν ἑτέρῳ σκηνοῖ· ἐπεὶ οὐδ' ἂν εἴη σκήνωσις· οὐδὲν γὰρ ἐν ἑαυτῷ κατοικεῖ. Ἕτερον δὲ εἶπον κατὰ τὴν οὐσίαν.

65 A Τῇ γὰρ ἑνώσει καὶ τῇ συναφείᾳ ἕν ἐστιν ὁ Θεὸς Λόγος καὶ ἡ σάρξ, οὐ συγχύσεως γενομένης, οὐδὲ ἀφανισμοῦ τῶν οὐσιῶν, ἀλλ' ἑνώσεως ἀῤῥήτου τινὸς καὶ ἀφράστου. Τὸ δὲ [a] ὅπως, μὴ ζήτει· ἐγένετο γὰρ ὡς οἶδεν αὐτός. Τίς οὖν ἐστιν ἡ σκηνὴ ἣν κατεσκήνωσεν; Ἄκουσον τοῦ προφήτου λέγοντος· Ἀναστήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν. Πεπτώκει γὰρ ὄντως, πεπτώκει πτῶμα ἀνίατον ἡ φύσις ἡ ἡμετέρα, καὶ τῆς κραταιᾶς ἐκείνης ἐδεῖτο μόνης χειρός. Οὐδὲ γὰρ ἦν ἑτέρως ἀναστῆναι αὐτὴν, μὴ τοῦ τὴν ἀρχὴν διαπλάσαντος αὐτῇ χεῖρα ὀρέξαντος, καὶ διατυπώσαντος ἄνωθεν τῇ δι'

B ὕδατος ἀναγεννήσει καὶ Πνεύματος. Καὶ θέα μοι τὸ φρικτὸν καὶ ἀπόῤῥητον [b] τοῦ μυστηρίου. Διαπαντὸς κατοικεῖ τὴν σκηνήν· τὴν γὰρ σάρκα τὴν ἡμετέραν

[c] ἀνωτέρῳ quidam.

[d] Savil. [et Codd. cit.] κρεῖττον; ἀλλ' οὐδὲ ἴσον, οὐδὲ μικρὸν ἐγγύς. οὐκοῦν. Morel. κρεῖττον; οὐδὲν ἴσον, οὐδὲ μικρὸν γοῦν αὐτῷ· οὐκοῦν.

[e] Ita Morel. Savil. [et Codd. cit.] τί γὰρ ἐπάγει; καὶ ἐσκήνωσεν. [Paulo ante Savil. et Codd. cit. ἄκουσον pro σκόπει.]

[a] Alii ὅπως ἐγένετο ἀκριβῶς μή.

[b] Quidam μυστήριον, διαπαντὸς κατοικεῖ τὴν σκηνήν. [Savil. μυστηρίου. διαπαντὸς γὰρ ταύτην κ. τ. σκ. Codd. 705 et 706 μυστήριον. Cetera ut Savil., nisi quod 706 omittit γάρ.]

περιεβάλετο, οὐχ ὡς πάλιν αὐτὴν ἀφήσων, ἀλλ' ὡς διαπαντὸς ἕξων μεθ' ἑαυτοῦ. Οὐ γὰρ ἂν, εἰ μὴ τοῦτο ἦν, καὶ τοῦ θρόνου κατηξίωσεν αὐτὴν τοῦ βασιλικοῦ, καὶ φορῶν αὐτὴν προσεκυνεῖτο ὑπὸ πάσης τῆς ἄνω στρατιᾶς, ἀγγέλων, ἀρχαγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν. Ποῖος λόγος, ποία διάνοια τὴν τοσαύτην τιμὴν τὴν εἰς τὸ γένος γεγενημένην τὸ ἡμέτερον, τὴν ὄντως ὑπερφυῆ καὶ φρικτὴν παραστῆσαι δυνήσεται; τίς ἄγγελος; τίς ἀρχάγγελος; Οὐδεὶς C οὐδαμοῦ, οὐ τῶν ἐν οὐρανῷ, οὐ τῶν ἐπὶ γῆς. Τοιαῦτα γὰρ τοῦ Θεοῦ τὰ κατορθώματα, καὶ οὕτω μεγάλαι καὶ ὑπερφυεῖς αἱ εὐεργεσίαι αὐτοῦ, ὡς μὴ μόνον ἀνθρωπίνην γλῶτταν, ἀλλὰ καὶ ἀγγελικὴν δύναμιν ὑπερβαίνειν αὐτῶν τὴν ἀκριβῆ διήγησιν. Διὸ καὶ ἡμεῖς εἰς σιγὴν τέως τὸν λόγον κατακλείσομεν, τοσοῦτον ὑμῖν παρεγγυήσαντες, ἀμείψασθαι τὸν τηλικοῦτον ἡμῶν εὐεργέτην ἀμοιβαῖς, αἳ πάλιν εἰς ἡμᾶς τὸ κέρδος [a] περιστήσουσιν ἅπαν. Αὗται δέ εἰσι, τὸ τῆς ψυχῆς ἡμᾶς μετὰ ἀκριβείας ἐπιμελεῖσθαι τῆς ἡμετέρας. Καὶ γὰρ καὶ τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας ἔργον, τὸ D μηδενὸς ἐν χρείᾳ τῶν ἡμετέρων καθεστηκότα αὐτὸν λέγειν κομίζεσθαι τὰς ἀμοιβὰς, ὅταν ἡμεῖς τῆς ψυχῆς ἐπιμελώμεθα τῆς ἑαυτῶν. Διὸ καὶ ἐσχάτης ἀνοίας καὶ μυρίων κολάσεων ἄξιον, τὸ τοσαύτης ἀπολελαυκότας τιμῆς, μηδὲ τὰ κατὰ δύναμιν εἰσενεγκεῖν· καὶ ταῦτα, τῆς ἐκ τούτων ὠφελείας εἰς ἡμᾶς περιερχομένης πάλιν, καὶ μυρίων ἐπὶ τούτοις κειμένων ἡμῖν ἀγαθῶν. Ὑπὲρ δὴ τούτων ἁπάντων δόξαν ἀναπέμψωμεν τῷ φιλανθρώπῳ Θεῷ, μὴ διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ πολλῷ μᾶλλον διὰ τῶν πραγμάτων, ἵνα καὶ τῶν μετὰ ταῦτα τύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας E ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

manum porrexisset, et superne illam reformasset per aquæ regenerationem et Spiritus. Et vide mihi horrendum et arcanum mysterium. Semper habitat in hoc tabernaculo : carnem quippe nostram induit, non ut postea relinqueret, sed illam semper secum habiturus. Nisi enim hoc esset, non illam regio solio dignatus esset, neque ipsam ferens adoraretur ab omni cælesti exercitu, ab angelis, archangelis, thronis, dominationibus, principatibus, potestatibus. Quis sermo, quæ mens, tantum illum honorem generi nostro collatum, supernaturalem illum et horrendum explicare poterit? Quis angelus? quis archangelus? Nullus usquam vel in cælo vel in terra. Talia quippe sunt Dei opera, tanta tamque supernaturalia ejus beneficia, ut non modo humanam linguam, sed et angelicam virtutem superet eorum accurata narratio. Quamobrem nos concionem hanc silentio claudemus, cum vos monuerimus, ut benefactori tanto vicem rependatis, cujus rei lucrum totum nobis postea rependetur. Vicem autem rependimus, si magnam animæ nostræ curam habeamus. Nam et hoc benignitatis illius opus est, ut cum nullo nostrum egeat, sibi vicem rependi dicat, cum nos animam nostram non negligimus. Quamobrem extremæ amentiæ esset, et innumeris dignum suppliciis, tantum consequutos honorem, non ea quæ penes nos sunt referre, cum maxime tota rei utilitas in nos redundet et innumera nobis in hujus rei mercedem reposita bona sint. Pro his vero omnibus gloriam referamus benignissimo Deo, non verbis tantum, sed multo magis operibus, ut futura consequamur bona : quæ utinam omnes adipiscamur, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, simulque Spiritui sancto, in sæcula sæculorum. Amen.

[a] Quidam περιστῶσιν.

ΟΜΙΛΙΑ ιϐ'.

66 A

HOMILIA. XII.

Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας.

Et vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre, plenum gratiæ et veritatis.

Τάχα πέρα τοῦ δέοντος ἐφάνημεν ὑμῖν ἐπαχθεῖς καὶ φορτικοὶ πρῴην, πληκτικωτέρῳ χρησάμενοι τῷ λόγῳ, καὶ μακρὰν κατὰ τῆς τῶν πολλῶν ῥαθυμίας ἀποτείναντες τὴν κατηγορίαν. Ἀλλ' εἰ μὲν αὐτὸ

1. Forte plus quam par erat vobis nuper onerosi et molesti fuimus, acriori usi sermone, et longa contra multorum desidiam oratione habita. Verum si id mordendi solum causa fecissemus,

jure nobis singuli succenserent; si vero utilitatem vestram spectantes, auditorum gratiam inire non curavimus, etiamsi illam profectus vestri curam, quam gessimus, acceptam habere nolitis, amori saltem nostro veniam concedatis oportet. Admodum enim timemus, ne nobis cum studio multo concionantibus, vobis autem dictis attendere negligentibus, graviores vobis rationes reddendæ sint. Ideo cogor vos frequenter excitare et expergefacere, ne dictorum quidpiam inutiliter effluat. Hoc enim pacto licebit vobis fidenter et hic vivere, et in illo die ante tribunal Christi adstare. Quia igitur vos nuper satis perstrinximus, age hodie statim ipsa verba proponamus. *Et vidimus,* inquit, *gloriam ejus, gloriam quasi Unigeniti a Patre.* Postquam dixerat nos filios Dei effectos esse, et ostenderat non alio modo id evenisse, quam quod Verbum caro factum esset, aliud hinc emolumentum provenisse dicit. Quodnam illud est? *Vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre:* non utique visuri, nisi per socium sibi corpus nobis apparuisset. Nam si Moysis naturæ nostræ hominis vultum ferre non poterant illius temporis homines, quod gloria illustraretur, sed velo opus habuit vir justus, quod gloriam illam ingentem obumbraret, ac mitem blandamque prophetæ faciem ostenderet: quomodo nudam divinitatem, ipsis supernis virtutibus inaccessam, nos lutei et terreni ferre potuissemus? Ideo habitavit in nobis, ut ipsum adire, alloqui, cum ipso versari libere possemus. Quid autem sibi vult illud, *Gloriam quasi Unigeniti a Patre?* Quia multi prophetarum gloria clari fuerunt, ut ipse Moyses, Elias, Elisæus; ille igneo curru vectus, hic receptus: et post illos Daniel et tres pueri, aliique plurimi, quotquot miracula patrarunt, gloria splendidi fuere: angeli quoque, qui hominibus apparuerunt, et naturæ suæ fulgorem hominibus exhibuerunt: neque angeli solum, sed etiam Cherubini et Seraphini cum gloria magna prophetæ apparuere: ab hisce porro omnibus nos avertens evangelista, atque a creaturarum conservorumque nostrorum splendore mentem adducens nostram, in ipso nos bonorum culmine constituit. Non enim prophetæ, non angeli, non archangeli,

Gloria quasi Unigeniti quid sit.

τοῦτο λυπῆσαι προελόμενοι μόνον [a] ὑμᾶς ταῦτα ἐπράττομεν, εἰκότως ἂν ἕκαστος ἐδυσχέραινεν· εἰ δὲ πρὸς
B τὸ συμφέρον ἡμῶν βλέποντες τὴν, ἐν τοῖς λόγοις χάριν παρείδομεν, εἰ καὶ μὴ ἀποδέξασθαι βούλεσθε τῆς προμηθείας ἡμᾶς, ἀλλὰ συγγνῶναι τῆς τοσαύτης ἂν εἴητε δίκαιοι φιλοστοργίας. Καὶ γὰρ καὶ σφόδρα δεδοίκαμεν, [b] μήποτε σπουδαζόντων μὲν ἡμῶν, ὑμῶν δὲ οὐκ ἐθελόντων τὴν αὐτὴν ἐπιδείξασθαι περὶ τὴν ἀκρόασιν φιλοπονίαν, αἱ τῶν μελλόντων εὐθῦναι χαλεπώτεραι γένωνται. Διὸ συνεχῶς ἀναγκαζόμεθα διεγείρειν τε ὑμᾶς καὶ ἀφυπνίζειν, ὥστε μηδὲν τῶν λεγομένων παραῤῥυῆναι. Οὕτω γὰρ ὑμῖν μετὰ πολλῆς παῤῥησίας νῦν τε ἐξέσται βιῶναι, καὶ κατ' ἐκείνην
C τὴν ἡμέραν παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ. Ἐπεὶ οὖν ἱκανῶς ὑμῶν καθηψάμεθα πρῴην, φέρε τήμερον ἐκ προοιμίων εἰς αὐτὰς τὰς ῥήσεις ἐμβάλωμεν. Καὶ ἐθεασάμεθα γὰρ, φησὶ, τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός. Εἰπὼν ὅτι Θεοῦ τέκνα γεγόναμεν, καὶ [c] δείξας οὐκ ἄλλως ἢ τῷ τὸν Λόγον σάρκα γενέσθαι, πάλιν αὐτοῦ τούτου λέγει καὶ ἕτερον κέρδος. Τί δὲ τοῦτό ἐστιν; Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός· οὐκ ἂν θεασάμενοι, εἰ μὴ διὰ τοῦ συντρόφου σώματος ἡμῖν ὤφθη. Εἰ γὰρ Μωϋσέως τῆς αὐτῆς ἡμῖν μετέχοντος φύσεως οὐχ ὑπέμειναν οἱ [d] κατ' ἐκεῖνον τὸν καιρὸν τὸ πρόσωπον
D μόνον δοξασθὲν ἰδεῖν, ἀλλὰ καὶ προκαλύμματος ἐδέησε τῷ δικαίῳ τοῦ δυναμένου τὸ τῆς δόξης ἄκρατον συσκιάσαι, [e] καὶ ἥμερον καὶ προσηνῆ τοῦ προφήτου τὴν ὄψιν αὐτοῖς δεῖξαι· πῶς θεότητα γυμνὴν, οὖσαν ἀπρόσιτον καὶ αὐταῖς ταῖς ἄνω δυνάμεσιν, ἡμεῖς οἱ πήλινοι καὶ γηγενεῖς ἠδυνήθημεν ἂν ἐνεγκεῖν; Διὰ τοῦτο ἐσκήνωσεν ἐν ἡμῖν, ἵνα καὶ προσελθεῖν αὐτῷ καὶ διαλεχθῆναι καὶ συναναστραφῆναι δυνηθῶμεν μετὰ ἀδείας πολλῆς. Τί δέ ἐστι τὸ, Δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός; Ἐπειδὴ πολλοὶ καὶ τῶν προφητῶν ἐδοξάσθησαν,
E οἷον αὐτὸς οὗτος ὁ Μωϋσῆς, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος· ὁ μὲν ὑπὸ πυρίνου κυκλούμενος ἅρματος, * ὁ δὲ οὕτως ἀναλαμβανόμενος· καὶ μετ' αὐτοὺς ὁ Δανιὴλ, καὶ οἱ παῖδες οἱ τρεῖς, καὶ ἕτεροι δὲ πολλοὶ, ὅσοι καὶ θαύματα ἐπεδείξαντο, ἐδοξάσθησαν· καὶ ἄγγελοι δὲ παρὰ
67 ἀνθρώποις φανέντες, καὶ τὸ τῆς οἰκείας φύσεως ἀπα-
A στράπτον φῶς παρανοίξαντες τοῖς ὁρῶσιν· οὐκ ἄγγελοι δὲ μόνον, ἀλλὰ καὶ τὰ Χερουβὶμ μετὰ πολλῆς ὤφθη τῷ προφήτῃ τῆς δόξης, καὶ τὰ Σεραφὶμ ὁμοίως· πάντων δὴ τούτων ἡμᾶς ἀπάγων ὁ εὐαγγελιστὴς, καὶ

[a] Morel. εἰς ὑμᾶς, male. In Savil. et in aliis εἰς desideratur. [Mox Savil. et Codd. cit. συμφέρον ὑμῖν.]

[b] Morel. μήποτε λεγόντων. Savil. μὴ σπουδαζόντων, melius.

[c] Savil. [et Codd. 705, 706] δείξας τίνι τρόπῳ, τῷ τὸν λόγον.

[d] Morel. κατ' ἐκεῖνό γε καιροῦ.

[e] Morel. καὶ τὸ ἀμήχανον τῆς ἑαυτοῦ ὄψεως δυνατὸν αὐτοῖς θεῖναι. Savilium sequimur.

* ὁ δὲ οὕτως ἀναλαμβανόμενος, id est, communi morte translatus.

τῆς κτίσεως καὶ τῆς τῶν [a] ὁμοδούλων λαμπρότητος ἐπαναστὰς τὴν διάνοιαν, πρὸς αὐτὴν ἡμᾶς τῶν ἀγαθῶν ἵστησι τὴν κορυφήν. Οὐ γὰρ προφήτου, φησὶν, οὐδὲ ἀγγέλου, οὐδὲ ἀρχαγγέλου, οὐδὲ τῶν ἀνωτέρω δυνάμεων, οὐκ ἄλλης τινὸς κτιστῆς φύσεως, εἴ γε τίς ἐστι καὶ ἑτέρα, ἀλλ' αὐτοῦ τοῦ Δεσπότου, αὐτοῦ τοῦ βασιλέως, αὐτοῦ τοῦ γνησίου μονογενοῦς Παιδὸς, αὐτοῦ τοῦ πάντων ἡμῶν Κυρίου τὴν δόξαν ἐθεασάμεθα. Τὸ δὲ, Ὡς, ἐνταῦθα, οὐχ ὁμοιώσεώς ἐστιν, οὐδὲ παραβολῆς, ἀλλὰ βεβαιώσεως καὶ ἀναμφισβητήτου διορισμοῦ· ὡσανεὶ ἔλεγεν· ἐθεασάμεθα δόξαν, οἵαν ἔπρεπε B καὶ εἰκὸς [*] ἔχειν μονογενῆ καὶ γνήσιον Υἱὸν ὄντα τοῦ πάντων βασιλέως Θεοῦ. Καὶ τοῖς πολλοῖς δὲ ἔθος· οὐ γὰρ παραιτήσομαι καὶ ἀπὸ τῆς κοινῆς συνηθείας τὸν λόγον πιστώσασθαι. Οὐδὲ γὰρ πρὸς κάλλος ἡμῖν ὀνομάτων, οὐδὲ πρὸς ἁρμονίαν συνθήκης πρόκειται νῦν εἰπεῖν, ἀλλὰ πρὸς τὴν ὑμετέραν ὠφέλειαν μόνον· ὅθεν οὐδὲν κωλύει καὶ ἀπὸ τῆς τῶν πολλῶν συνηθείας αὐτὸ βεβαιῶσαι. Τίς δέ ἐστιν ἡ συνήθεια τῶν πολλῶν; Βασιλέα πολλάκις σφόδρα κεκοσμημένον ὁρῶντές τινες, καὶ τιμίοις ἀπαστράπτοντα λίθοις πάντοθεν, ἐπειδὰν πρός τινας διηγῶνται τὸ κάλλος ἐκεῖνο, τὸν κόσμον, C τὴν δόξαν, λέγουσι μὲν ὅσαπερ ἂν δυνηθῶσι, τῆς ἁλουργίδος τὸ ἄνθος, τῶν λίθων τὸ μέγεθος, τὴν λευκότητα τῶν ἡμιόνων, τὸν περὶ τὸ ζεῦγος χρυσὸν, [b] τὴν στρωμνὴν παριστῶντες τὴν στίλβουσαν. Ἐπειδὰν δὲ καὶ ταῦτα καὶ ἕτερα πρὸς τούτοις καταλέξαντες, μὴ δυνηθῶσιν ἅπασαν τῷ λόγῳ παραστῆσαι τὴν λαμπρότητα, εὐθέως τοῦτο ἐπάγουσι· τί δεῖ τὰ πολλὰ λέγειν; ἅπαξ ὡς βασιλεύς· διὰ τοῦ, ὡς, οὐ τὸ βασιλέως ὅμοιον εἶναι δεῖξαι βουλόμενοι τοῦτον περὶ οὗ πάντα λέγουσιν, ἀλλὰ τὸ αὐτὸν βασιλέα γνήσιον εἶναι. Οὕτω τοίνυν καὶ D ὁ εὐαγγελιστὴς τὸ, Ὡς, τέθεικε, τὸ παρηλλαγμένον τῆς δόξης καὶ ὑπερέχον ἀσυγκρίτως παραστῆσαι θέλων. Οἱ μὲν γὰρ ἄλλοι πάντες, καὶ ἄγγελοι, καὶ ἀρχάγγελοι, καὶ προφῆται, προσταττόμενοι [**] πάντα ἐποίουν· αὐτὸς δὲ μετ' ἐξουσίας βασιλεῖ καὶ δεσπότῃ πρεπούσης· ὅπερ οὖν καὶ οἱ ὄχλοι ἐθαύμαζον, ὅτι ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων.

non supernarum virtutum, non alterius creatæ naturæ, si qua sit alia; sed ipsius Domini, ipsius Regis, ipsius vere unigeniti Filii, omnium nostrum Domini gloriam vidimus. Illud autem, *Quasi*, non similitudinis est, neque parabolæ, sed confirmationis et definitionis nulli dubio obnoxiæ; ac si diceret: Vidimus gloriam, qualem decebat habere unigenitum et germanum Filium Dei, universorum Regis. Id in more est plurimis; neque enim recusabo a communi consuetudine id asserere. Etenim non ad verborum speciem, neque ad seriei ornatum loqui in proposito habemus, sed ad vestram solum utilitatem; quapropter nihil officit, quominus a communi consuetudine id confirmetur. Quænam est illa multorum consuetudo? Quidam regem ornatissimum videntes, et pretiosis undique fulgentem lapidibus, siquando illam pulchritudinem, illum ornatum, gloriam illam aliis enarrare velint, pro modo suo depingunt, purpuræ florem, gemmarum magnitudinem, mularum alborem, jugum aureum, strati fulgorem: postea vero his aliisque multis recensitis, cum non possunt totum splendorem verbis repræsentare, continuo addunt: Quid multis opus est? uno verbo dicam, quasi rex: perque illud, quasi, non regi similem describere volunt, sed ipsum vere regem. Sic igitur evangelista illud, *Quasi*, posuit ut incomparabilem illam et præcellentem gloriam exhiberet. Alii quippe omnes, angeli, archangeli, prophetæ, jussi omnia faciebant: ipse vero cum potestate quæ regem et dominum deceret: id quod etiam turbæ mirabantur, quod doceret tamquam potestatem habens.

Imperatorum ornatus et cultus.

Ἐφάνησαν μὲν οὖν, ὅπερ εἶπον, καὶ ἄγγελοι μετὰ δόξης πολλῆς ἐπὶ τῆς γῆς· οἷον ἐπὶ τοῦ Δανιὴλ, ἐπὶ τοῦ Δαυὶδ, ἐπὶ τοῦ Μωϋσέως· ἀλλ' ὡς δοῦλοι καὶ δεσπότην ἔχοντες, οὕτω πάντα ἔπραττον· αὐτὸς δὲ ὡς δεσπότης καὶ πάντων κρατῶν, καὶ ταῦτα μετ' εὐτελοῦς σχήματος καὶ ταπεινοῦ φανείς· ἀλλ' ὅμως καὶ E οὕτως ἡ κτίσις τὸν Δεσπότην ἐπέγνω τὸν ἑαυτῆς.

2. Apparuerunt itaque, ut dixi, angeli in terra cum gloria multa, ut Danieli, Davidi, Moysi; sed ut servi et domino obsequentes omnia faciebant: ipse vero ut dominus et omnium imperator, etsi sub vili forma et habitu apparuerit: attamen sic quoque creatura Dominum suum agnovit. Quomodo? Stella de cælo magos vocavit, ipsum

[a] Morel. *ὁμοδούλων ἡμῶν... κορυφήν· μονονουχὶ λέγων, οὐ προφήτου.* Savilio hæremus.

[*] [*εἰκὸς ἦν* Savil. et Cod. 705.]

[b] Savil. [et Codd. cit.] *τὴν στρωμνὴν τὴν ἁπαλὴν καὶ στίλβουσαν* (*ἀποστίλβουσαν* Cod. 705). Morel. *τὴν καθέδραν παρ.*

[**] [Codd. cit. *ταῦτα.*]

adoraturos; angelorum cœtus magnus undique effusus Domino suo ministrabant, ipsumque hymnis celebrabant; et alii repente præcones insurgebant, omnesque simul sibi invicem occurrentes, arcanum hoc mysterium nuntiabant, pastoribus angeli, civibus pastores; Gabriel Mariæ et Elisabethæ; iis qui in templo erant Anna et Simeon. Nec viri mulieresque solum lætitia magna sunt affecti, sed etiam puerulus nondum ex vulva egressus, ille, inquam, deserti cultor, evangelistæ cognominis, exsultavit in utero matris: omnesque spe ad futurum partum inhiabant. Et hæc quidem circa partus tempus; quando autem seipsum magis exhibuit, rursus alia miracula prioribus majora splenduerunt. Non ultra enim stella et cælum, non angeli et archangeli, non Gabriel et Michael; sed ipse Pater superne et ex cælo prædicabat illum, et cum Patre Paracletus advolans ad illum cum voce, manensque supra ipsum. Vere propterea dixit: *Vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre.* Neque propter illa solum, sed propter ea etiam quæ sequuta sunt. Non ultra enim pastores tantum, vel viduæ, vel senes nobis illum annuntiant; sed etiam ipsa rerum natura tuba clarius clamans, et tam alta voce, ut ejus sonus statim hucusque pervenerit. Pervenit enim, inquit, usque in Syriam fama ejus, quæ ipsum omnibus revelavit: omnia undique clamabant, regem cælorum adventasse. Nam dæmones undique fugiebant et resiliebant, diabolus obvolutus recedebat, ipsa mors repulsa interim, postea penitus abolita est: omne infirmitatis genus solutum est; monumenta mortuos emittebant, insanos dæmonia relinquebant, morbi infirmos deserebant; videreque erat res stupendas et mirabiles, quæ jure prophetæ desiderabant videre, et non viderunt. Videre erat formatos oculos, et illud tam optabile, cujus omnes spectatores esse cupiebant, quomodo Adamum de terra formasset Deus, id brevi et in præstantiore corporis parte ostendentem Christum; membra insuper paralysi soluta et dissoluta, jam restituta et cæteris copulata, manus emortuas motu gaudentes, pedes solutos repente exsilientes, aures obstructas jam apertas, et linguam magno sonitu loquentem, quæ prius muta erat. Quemadmodum

Christi adventus ratio.

Matth. 4. 24.

[c] Πῶς; Ἀστὴρ μὲν γὰρ ἀπ' οὐρανοῦ μάγους καλῶν προσκυνήσοντας αὐτόν· ἀγγέλων δὲ ὄχλος πολὺς πανταχοῦ κεχυμένος τὸν Δεσπότην περιεπόντων, καὶ ἀνυμνούντων αὐτόν· καὶ ἕτεροι δὲ ἐξαπίνης ἀνεφύοντο κήρυκες, καὶ πάντες ἀλλήλοις [d] ἀπαντῶντες, εὐηγγελίζοντο τὸ ἀπόῤῥητον τοῦτο μυστήριον, τοὺς μὲν ποιμένας οἱ ἄγγελοι, τοὺς δὲ τῆς πόλεως οἱ ποιμένες·
68 A καὶ τὴν μὲν Μαρίαν ὁ Γαβριὴλ καὶ τὴν Ἐλισάβετ, τοὺς δὲ εἰς τὸ ἱερὸν παραγινομένους ἡ Ἄννα μετὰ τοῦ Συμεών. Οὐκ ἄνδρες δὲ καὶ γυναῖκες μόνον ὑπὸ τῆς ἡδονῆς ἐπτερώθησαν, ἀλλὰ καὶ τὸ μηδέπω βρέφος εἰς φῶς ἐξελθὸν, ὁ τῆς ἐρήμου πολίτης, λέγω, καὶ τούτου ὁμώνυμος τοῦ εὐαγγελιστοῦ, ἐσκίρτησεν ἐν τῇ νηδύϊ τῆς μητρὸς ὢν ἔτι, καὶ πάντες μετέωροι ταῖς ἐλπίσι πρὸς τὰ μέλλοντα ἦσαν. Καὶ ταῦτα μὲν παρὰ τὸν τόκον εὐθέως· ὅτε δὲ ἐπὶ πλέον ἑαυτὸν ἐξέφηνε, πάλιν ἕτερα θαύματα τῶν προτέρων ἐφαίνετο μείζονα. Οὐκ ἔτι γὰρ ἀστὴρ καὶ οὐρανὸς, οὐδὲ ἄγγελοι καὶ
B ἀρχάγγελοι, οὐδὲ Γαβριὴλ καὶ Μιχαὴλ, ἀλλ' αὐτὸς αὐτὸν ἄνωθεν ἀπὸ τῶν οὐρανῶν ἐκήρυττεν ὁ Πατὴρ, καὶ μετὰ τοῦ Πατρὸς ὁ Παράκλητος ἐφιπτάμενος αὐτῷ μετὰ τῆς φωνῆς, καὶ μένων ἐπ' αὐτόν. Ὄντως διὰ ταῦτα ἔλεγεν· Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός. Οὐ διὰ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ διὰ τὸ μετὰ ταῦτα τοῦτό φησιν. Οὐκ ἔτι γὰρ ποιμένες μόνον, οὐδὲ χῆραι γυναῖκες, οὐδὲ ἄνδρες πρεσβῦται ἡμᾶς εὐαγγελίζονται, ἀλλὰ καὶ αὐτὴ τῶν πραγμάτων [a] ἡ φύσις, πάσης σάλπιγγος λαμπρότερον βοῶσα· καὶ οὕτω γεγωνὸς, ὡς καὶ ἐνταῦθα αὐτῆς εὐθέως ἀκουσθῆναι τὸν ἦχον. Ἀπῆλθε γὰρ, φησὶν, εἰς τὴν Συρίαν ἡ ἀκοὴ αὐτοῦ, καὶ πᾶσιν αὐτὸν ἀπεκά-
C λυπτε· καὶ πάντα πάντοθεν ἐβόα, ὅτι βασιλεὺς τῶν οὐρανῶν παραγέγονεν. Οἵ τε γὰρ δαίμονες πάντοθεν ἔφευγον καὶ ἀπεπήδων, ὅ τε διάβολος ἐγκαλυψάμενος [b] ὑπεχώρει, αὐτός τε ὁ θάνατος ὑπεξίστατο τέως, καὶ μετὰ ταῦτα τέλεον ἠφανίζετο· καὶ πάσης ἀῤῥωστίας εἶδος ἐλύετο, καὶ τοὺς μὲν νεκροὺς ἠφίει τὰ μνήματα, τοὺς δὲ μεμηνότας οἱ δαίμονες, τοὺς δὲ ἀῤῥώστους αἱ νόσοι· καὶ ἦν ἰδεῖν πράγματα παράδοξα καὶ θαυμαστὰ, καὶ ἅπερ εἰκότως ἐπεθύμησαν προφῆται ἰδεῖν, καὶ οὐκ εἶδον. Ἦν γὰρ ἰδεῖν ὀφθαλμοὺς διαπλαττομένους, καὶ τὸ ποθεινὸν ἐκεῖνο, ὃ πάντες ἐπεθύμησαν ἂν ἰδεῖν, πῶς
D τὸν Ἀδὰμ ἀπὸ τῆς γῆς ἔπλασεν ὁ Θεὸς, τοῦτο ἐν βραχεῖ πᾶσιν ἐπιδεικνύντα, καὶ ἐν τῷ βελτίονι τοῦ σώματος μέρει· τά τε παραλελυμένα καὶ διῳκισμένα συγκολλώμενα μέλη, καὶ ἀλλήλοις συναρμοττόμενα, χεῖρας

[c] πῶς; ante ἀστήρ deest in Savil. [et Cod. 705. Tum uterque cum Cod. 706 ἀστὴρ μέν sine γάρ.] Mox Morel. ἀγγέλων δὲ δῆμοι οὐράνιοι φαινόμενοι ἐπὶ γῆς τῷ δεσπότῃ διακονούντων καὶ ἀνυμνούντων. Savilius et Mss. ut supra habent.

[d] Morel. συνιόντες. Savil. ἀπαντῶντες.

[a] Morel. ἡ φύσις. Savil. ἡ φωνή.

[b] Savil. [et Codd. cit.] ἀνεχώρησεν, ὅ τε θάνατος ὑπ. τότε, καί.

νεκρὰς κινουμένας, πόδας παραλελυμένους ἀθρόον ἁλλομένους, ὦτα βεβυσμένα ἀναπεταννύμενα, καὶ γλῶτταν ἠχοῦσαν μέγα, τὴν πρότερον ἀφωνίᾳ δεδεμένην. Καθάπερ γάρ τις τεχνίτης ἄριστος οἰκίαν ὑπὸ χρόνου σαθρωθεῖσαν ἀναλαβὼν, τὴν κοινὴν τότε τῶν ἀνθρώπων φύσιν, οὕτω ταύτης τά τε ἀποκλασθέντα E ἀνεπλήρωσε μέρη, τά τε διεστῶτα καὶ διαλελυμένα συνέσφιγξε, καὶ τὰ τέλεον πεπτωκότα ἀνέστησε. Τί ἄν τις εἴποι τῆς ψυχῆς τὴν διάπλασιν, πολλῷ θαυμαστοτέραν τῆς ἐν τοῖς σώμασιν οὖσαν; Μέγα μὲν γὰρ καὶ ἡ τῶν σωμάτων ὑγεία, πολλῷ δὲ μεῖζον ἡ τῶν ψυχῶν, καὶ τοσούτῳ μεῖζον, ὅσῳ ψυχὴ σώματος [c]ἄμεινον· οὐ ταύτῃ δὲ μόνον, ἀλλ' ὅτι ἡ μὲν τῶν σωμάτων φύσις, ᾗπερ ἂν αὐτὴν ὁ δημιουργὸς ἄγειν βούληται, ταύτῃ ἕπεται, καὶ τὸ ἀντιπῖπτον οὐδέν· ἡ δὲ ψυχὴ κυρία ἑαυτῆς γενομένη, καὶ τῶν πρακτέων τὴν ἐξουσίαν ἔχουσα, οὐ πάντα, ἂν μὴ βούληται, πείθεται τῷ Θεῷ. 69 A [a]Ἄκουσαν γὰρ αὐτὴν καὶ βίᾳ που κατηναγκασμένην, οὐ βούλεται ποιῆσαι καλὴν καὶ ἐνάρετον, ἐπειδήπερ μηδὲ ἔστι τοῦτο ἀρετή· ἀλλὰ χρὴ βουλομένην καὶ ἑκοῦσαν πεῖσαι γενέσθαι τοιαύτην· ὅθεν χαλεπώτερον τοῦτό ἐστιν ἐκείνης τῆς ἰατρείας. Ἀλλ' ὅμως καὶ τοῦτο κατωρθοῦτο, καὶ πᾶν εἶδος κακίας ἠλαύνετο. Καὶ ὥσπερ τὰ σώματα τὰ θεραπευόμενα, οὐ πρὸς ὑγίειαν μόνον, ἀλλὰ καὶ πρὸς εὐεξίαν τὴν ἀνωτάτω μετερρύθμιζεν· οὕτω καὶ τὰς ψυχὰς, οὐ τῆς κακίας τῆς ἐσχάτης ἀπήλλαξε μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τῆς ἀρετῆς τὴν κορυφὴν ἤγαγε· καὶ ὁ τελώνης ἀπόστολος ἐγίνετο, καὶ ὁ διώκτης καὶ βλάσφημος καὶ ὑβριστὴς, κῆρυξ τῆς οἰκουμένης ἀπεδείκνυτο· B καὶ μάγοι, διδάσκαλοι Ἰουδαίων ἐγίνοντο· καὶ λῃστὴς, παραδείσου πολίτης ἀνεφαίνετο· καὶ πόρνη, πολλῇ τῇ πίστει διέλαμπε· καὶ Χαναναία καὶ Σαμαρεῖτις γυνὴ, ἑτέρα πόρνη καὶ αὐτὴ, ἡ μὲν τὸ κήρυγμα τῶν ὁμοφύλων ἀνεδέξατο, καὶ πόλιν ὁλόκληρον σαγηνεύσασα, οὕτω [b]προσήγαγε τῷ Χριστῷ· ἡ δὲ τῇ πίστει καὶ τῇ προσεδρείᾳ δαίμονα πονηρὸν ἀπελαθῆναι τῆς τοῦ θυγατρίου ψυχῆς παρεσκεύασε. Καὶ ἕτεροι δὲ πολλῷ τούτων χείρους εἰς τὴν τῶν μαθητῶν εὐθέως κατελέγοντο τάξιν. Καὶ πάντα ἀθρόον μετεσχηματίζετο, τῶν σωμάτων τὰ πάθη, τῶν ψυχῶν τὰ νοσήματα, C καὶ πρὸς ὑγείαν καὶ τὴν ἀκριβεστάτην ἀρετὴν μετεπλάττοντο, καὶ [*]τούτων, οὐ δύο καὶ τρεῖς ἄνθρωποι, οὐδὲ πέντε, καὶ δέκα, καὶ εἴκοσι καὶ ἑκατὸν μόνον, ἀλλὰ πόλεις ὁλόκληροι καὶ ἔθνη μετὰ πολλῆς τῆς εὐκολίας μετερρυθμίζοντο. Τί ἄν τις εἴποι τῶν προσταγμάτων τὴν φιλοσοφίαν, τῶν οὐρανίων νόμων τὴν ἀρετὴν, τῆς ἀγγελικῆς πολιτείας τὴν εὐταξίαν; Τοι-

enim optimus architectus, domum vetustate labantem: sic ille humanam naturam restituit, partes fractas resarsit, disjunctas et dissolutas copulavit, penitus lapsas erexit. Quid dixerimus de animæ reformatione, corporeis curationibus longe præstantiore? Magna res certe est corporis valetudo, sed multo major animæ; tantoque major, quanto anima præstantior est corpore: neque hac tantum ratione, sed quia corporum natura, quocumque illam velit Creator agere, sequitur, nec resistit; anima vero quæ sui arbitrii est, et in actibus libertatem habet, non in omnibus obtemperat Deo, si quidem nolit. Illam enim invitam non vult Deus per vim et necessitatem, pulchram et virtute præditam reddere: quandoquidem illud virtus non esset: sed illi volenti et lubenti suadendum, ut talis efficiatur: id quod longe difficilius est quam illa alia curatio. Id tamen fecit ille, atque nequitiæ genus omne depulsum est. Ac sicut corpora bene curata non ad valetudinem modo, sed ad supremum sanitatis statum reduxit: sic et animas, non modo ab extrema nequitia eripuit, sed ad ipsum virtutis culmen erexit. Publicanus factus est apostolus; persequutor, blasphemus et contumeliosus orbis prædicator fuit: magi, Judæorum doctores; latro, paradisi civis; meretrix, fide magna refulsit; Chananæa et Samaritana mulieres, quarum postrema meretrix erat; ex his, inquam, mulieribus altera prædicationem apud contribules suos suscepit, totamque civitatem quasi sagena captam ad Christum adduxit; altera autem fide et assiduitate id effecit, ut dæmon malignus ex filiæ suæ anima pelleretur. Alii quoque longe his pejores in discipulorum numerum statim admittebantur. Omnia simul transmutabantur, corporum ægritudines, morbi animarum, quæ ad sanitatem perfectamque virtutem reducebantur. Nec duo tantum homines, aut tres, aut quinque, vel decem, vel viginti, vel centum solummodo, sed integræ civitates et gentes facillime transmutabantur. Quis vero præceptorum sapientiam, cælestium legum virtutem, angelicæ vitæ ordinem digne descripserit? Tale quippe induxit vitæ genus, tales nobis constituit leges, talem morum formam, ut qui iis utuntur, angeli statim effi-

Libertas arbitrii.

Virtus libera est.

c Alii ἀμείνων.

a Morel. ἄκουστον, male.

b Morel. ἐξήγαγε. Savil. προσήγαγε.

* [τοῦτο Cod. 706.]

ciantur, et quantum homini licet, Deo similes, etsi omnium hominum nequissimi fuerint.

3. Hæc itaque omnia miracula colligens evangelista, quæ in corporibus, quæ in animis, quæ in elementis; necnon præcepta, dona illa arcana ipsis cælis sublimiora, leges, vitæ institutum, obsequentiam, futurorum promissiones, ejusque cruciatus, hanc mirabilem et sublimi doctrina plenam emisit vocem: *Vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre, plenum gratiæ et veritatis.* Non enim propter miracula tantum ipsum miramur, sed etiam propter cruciatus; ut cum affixus fuit cruci, flagellatus, alapis cæsus, consputus, et cum in maxillis plagas accepit ab iis quos beneficiis affecerat. At enim in his quoque quæ ignominiosa videntur, idem ipsum dictum apposite proferatur, quandoquidem et ipse rem illam, gloriam appellavit. Non enim providentiæ tantum et caritatis illa erant, sed etiam immensæ potestatis. Tunc enim et mors destruebatur, et maledictio solvebatur, dæmones confundebantur, deque ipsis triumphabatur, et chirographum peccatorum cruci affigebatur. Deinde, quia hæc miracula invisibiliter patrabantur, quædam visibiliter peracta sunt, quæ demonstrarent ipsum esse unigenitum Filium Dei, totiusque naturæ Dominum. Nam cum beatum corpus adhuc in cruce penderet, sol radios avertit, terra tremuit et tenebris oppleta est, sepulcra aperta, terræ solum concussum est, mortuorum innumera multitudo exsiliit, et in civitatem ingressa est : ac dum monumenti ipsius lapides loculis aptati manerent, et signacula starent, surrexit mortuus ille qui cruci clavis affixus fuerat, ac virtute quadam magna repletos undecim discipulos misit omnibus per orbem hominibus, communes naturæ totius medicos futuros, qui vitam hominum emendarent, cælestiumque dogmatum notitiam ubique disseminarent, dæmonum tyrannidem solverent, magnaque et arcana bona homines docerent : animæ immortalitatem nobis prædicarent, corporisque vitam æternam, præmia mentem exsuperantia et nunquam finem habitura. Hæc secum reputans beatus ille, et alia plura, quæ ipse quidem noverat, sed scri-

Miracula Christum prædicabant.

οὕτον γὰρ ἡμῖν εἰσηγήσατο βίον, [c] τοιούτους ἡμῖν ἔθηκε νόμους, τοιαύτην κατεστήσατο πολιτείαν, ὡς τοὺς τούτοις χρωμένους ἀγγέλους εὐθέως γίνεσθαι, καὶ ὁμοίους Θεῷ κατὰ δύναμιν τὴν ἡμετέραν, κἂν ἁπάντων ἀνθρώπων κακίους [d] τύχωσιν ὄντες.

D Ταῦτα οὖν ἅπαντα συναγαγὼν ὁ εὐαγγελιστὴς τὰ θαύματα, τὰ ἐν σώμασι, τὰ ἐν ψυχαῖς, τὰ ἐν τοῖς στοιχείοις, τὰ προστάγματα, τὰ δῶρα τὰ ἀπόῤῥητα ἐκεῖνα, καὶ τῶν οὐρανῶν ὑψηλότερα, τοὺς νόμους, τὴν πολιτείαν, τὴν πειθὼ, τὰς μελλούσας ὑποσχέσεις, τὰ παθήματα αὐτοῦ, τὴν θαυμαστὴν ταύτην καὶ ὑψηλῶν γέμουσαν δογμάτων ἀφῆκε φωνὴν λέγων· Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, [e] πλήρη χάριτος καὶ ἀληθείας. Οὐ γὰρ διὰ τὰ θαύματα μόνον αὐτὸν θαυμάζομεν, ἀλλὰ καὶ διὰ τὰ παθήματα· οἷον, ἐπειδὴ προσηλώθη τῷ σταυρῷ καὶ ἐμαστιγώθη, ἐπειδὴ ἐῤῥαπίσθη, ἐπειδὴ ἐνεπτύσθη,
E ἐπειδὴ ἔλαβεν ἐπὶ κόῤῥης πληγὰς παρὰ τῶν εὐεργετηθέντων αὐτῶν. Καὶ γὰρ καὶ ἐπὶ τούτοις αὐτοῖς τοῖς δοκοῦσιν ἐπονειδίστοις εἶναι, τὸ αὐτὸ ῥῆμα πάλιν ἄξιον ἐπιφθέγξασθαι, ἐπεὶ καὶ αὐτὸς δόξαν τὸ πρᾶγμα ἐκάλεσεν. Οὐ γὰρ δὴ μόνον κηδεμονίας καὶ ἀγάπης
70 ἦν τὰ γινόμενα, ἀλλὰ καὶ δυνάμεως ἀφάτου. Τότε
A γὰρ καὶ θάνατος ἠφανίζετο, καὶ κατάρα ἐλύετο, καὶ δαίμονες κατῃσχύνοντο καὶ ἐδειγματίζοντο θριαμβευόμενοι, καὶ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν τῷ σταυρῷ προσηλοῦτο. Εἶτα ἐπειδὴ ταῦτα ἀοράτως ἐθαυματουργεῖτο, ἐγένετό τινα καὶ ὁρατῶς, δεικνύντα ὅτι ὄντως μονογενὴς ἦν Υἱὸς τοῦ Θεοῦ, καὶ τῆς κτίσεως πάσης Δεσπότης. Ἔτι γὰρ τοῦ μακαρίου σώματος κρεμαμένου, ἀπέστρεφε μὲν ὁ ἥλιος τὰς ἀκτῖνας, ἐκλονεῖτο δὲ ἡ γῆ καὶ ἐσκοτίζετο πᾶσα, καὶ τάφοι μὲν ἀνεῤῥήγνυντο, καὶ τὸ ἔδαφος ἐτινάσσετο, καὶ νεκρῶν δῆμος ἄπειρος ἐξεπήδα, καὶ εἰς τὴν πόλιν εἰσῄει· τῶν δὲ τοῦ μνήματος αὐτοῦ λίθων ἡρμοσμένων τῇ θήκῃ, ἔτι καὶ
B τῶν σημάντρων ἐπικειμένων, ἀνίστατο ὁ νεκρὸς ὁ σταυρωθεὶς, ὁ προσηλωθεὶς, καὶ τῆς δυνάμεως [a] τῆς πολλῆς τότε [τινὸς ἀμάχου καὶ θείας] τοὺς ἕνδεκα μαθητὰς ἐμπλήσας, ἔπεμπε τοῖς κατὰ τὴν οἰκουμένην ἀνθρώποις, ἰατροὺς κοινοὺς τῆς φύσεως ἐσομένους ἁπάσης, καὶ τὸν βίον ὀρθώσοντας, τὴν τῶν οὐρανίων δογμάτων γνῶσιν πανταχοῦ διασπεροῦντας γῆς, τὴν δὲ τῶν δαιμόνων λύσοντας τυραννίδα, καὶ τὰ μεγάλα καὶ ἀπόῤῥητα διδάξοντας ἀγαθὰ, καὶ εὐαγγελιουμένους ἡμῖν ψυχῆς ἀθανασίαν, καὶ σώματος ζωὴν αἰώνιον, τὰ καὶ νοῦν ὑπερβαίνοντα ἔπαθλα, καὶ μηδέποτε ἕξοντα τέλος. Ταῦτα οὖν καὶ τὰ τούτων πλείονα ἐννοή-

[c] Sic Savil. et Mss. Morel. vero [cum Cod. 706] *τοιούτους παρ' ἡμῖν.*
[d] Savil. *τύχωσιν.* Morel. *τύχωμεν.*
[e] Alii *πλήρης.*

[a] Savil. [et Codd. 705, 706] *τῆς πολλῆς τότε τοὺς ἕνδεκα.* Morel. *ἀνίστατο ὁ νεκρός. ἔπειτα πάλιν δυνάμεώς τινος ἀμάχου καὶ θείας.* [Ultima hæc verba uncis inclusimus.]

στης ὁ μακάριος οὗτος, ἃ ᾔδει μὲν αὐτὸς, γράψαι δὲ οὐκ ἠνέσχετο, διὰ τὸ μὴ χωρεῖν τὸν κόσμον (πάντα C γὰρ [b] Ἂν γράφηται καθ' ἓν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία)· ταῦτα οὖν ἅπαντα λογισάμενος, ἀνεβόησεν, ὅτι Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρη χάριτος καὶ ἀληθείας. Τοὺς δὴ οὖν [c] τοσούτων μὲν θεαμάτων, τοιούτων δὲ καταξιωθέντας ἀκουσμάτων, τοσαύτης δὲ ἀπολαύσαντας δωρεᾶς, καὶ βίον ἄξιον τῶν δογμάτων ἐπιδείκνυσθαι χρὴ, ὥστε καὶ τῶν ἐκεῖσε ἀπολαῦσαι καλῶν. Διὰ τοῦτο γὰρ καὶ παρεγένετο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἵνα μὴ μόνον τὴν ἐνταῦθα δόξαν ἴδωμεν αὐτοῦ, ἀλλὰ καὶ τὴν μέλλουσαν. Διὰ τοῦτο ἔλεγε, Θέλω, ἵνα ὅπου εἰμὶ ἐγὼ, D καὶ οὗτοι ὦσιν, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν. Εἰ δὲ αὕτη ἡ δόξα οὕτω γέγονε λαμπρὰ καὶ περιφανὴς, τί ἄν τις εἴποι περὶ ἐκείνης; Οὐ γὰρ ἐν γῇ φανεῖται φθαρτῇ, οὐδὲ ἐν ἐπικήροις σώμασιν ὄντων ἡμῶν, ἀλλ' ἐν ἀκηράτῳ καὶ ἀγήρῳ τῇ κτίσει, καὶ μετὰ τοσαύτης τῆς λαμπρότητος, μεθ' ὅσης οὐδὲ λόγῳ παραστῆσαι δυνατόν. [d] Ὦ μακάριοι καὶ τρισμακάριοι καὶ τοῦτο πολλάκις, οἱ τῆς δόξης καταξιούμενοι ἐκείνης γενέσθαι θεαταί. Περὶ ταύτης ὁ προφήτης φησίν· Ἀρθήτω ὁ ἀσε- E βὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. Ἀλλ' ἡμῶν μηδένα γένοιτο ἀρθῆναι, μηδὲ ἀθέατον αὐτῆς γενέσθαι ποτέ. Εἰ γὰρ μὴ μέλλοιμεν ἀπολαύσεσθαι ταύτης, εὔκαιρον καὶ παρ' ἡμῶν εἰπεῖν· καλὸν ἦν ἡμῖν, εἰ μὴ ἐγεννήθημεν. Τί γὰρ ζῶμεν; τί ἀναπνέομεν; τί δὲ ἐσμὲν, ἂν 71 τῆς θεωρίας ἀποτύχωμεν ἐκείνης; ἂν τὸν Δεσπότην A τὸν ἡμέτερον μηδεὶς ἡμῖν συγχωρήσῃ θεάσασθαι τότε; Εἰ γὰρ οἱ τὸ φῶς τὸ ἡλιακὸν μὴ θεώμενοι, παντὸς θανάτου πικροτέραν ὑπομένουσι ζωήν· τί παθεῖν εἰκὸς τοὺς τοῦ φωτὸς ἀποστερηθέντας ἐκείνου, Ἐνταῦθα μὲν γὰρ ἐν τούτῳ μόνον ἡ ζημία, ἐκεῖ δὲ οὐ μέχρι τούτου μόνον· καίτοι καὶ εἰ τοῦτο μόνον ἦν τὸ δεινὸν, οὐδὲ οὕτως ἴσον τὸ τῆς κολάσεως ἦν, ἀλλὰ τοσούτῳ χαλεπώτερον, ὅσον ὁ ἥλιος ἐκεῖνος τούτου κρείττων ἀσυγκρίτως ἐστί· νῦν δὲ καὶ ἑτέραν ἐστὶ προσδοκῆσαι τιμωρίαν. Τὸν γὰρ ἐκεῖνο τὸ φῶς οὐχ ὁρῶντα, οὐκ εἰς τὸ σκότος δεῖ ἀπενεχθῆναι μόνον, ἀλλὰ καὶ καίεσθαι διὰ παντὸς, καὶ τήκεσθαι, καὶ βρύχειν τοὺς ὀδόντας, καὶ B μυρία ἕτερα πάσχειν δεινά. Μὴ δὴ περιίδωμεν ἑαυτοὺς, διὰ τῆς βραχείας ταύτης ὀλιγωρίας καὶ ἀνέσεως εἰς αἰώνιον ἐμπίπτοντας κόλασιν, ἀλλὰ γρηγορήσωμεν, νήψωμεν, πάντα πράξωμεν καὶ πραγματευσώμεθα, ὥστε ἐκείνης τυχεῖν τῆς ἀπολαύσεως, καὶ πόῤῥω γενέσθαι τοῦ ποταμοῦ τοῦ πυρὸς τοῦ συρομένου μετὰ πολλοῦ ῥοίζου πρὸ τοῦ βήματος τοῦ φρικτοῦ. Τὸν γὰρ

bere noluit, quod ea mundus non caperet (nam C omnia inquit, *Si scribantur per singula, nec ipsum arbitror mundum capere eos qui scribendi sunt libros*) : hæc, inquam, omnia cogitans exclamavit : *Vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre, plenum gratiæ et veritatis*. Qui ergo tot spectaculis, hujusmodi doctrina, tanto munere dignati sunt, vitam dogmatibus dignam exhibeant oportet, ut illis fruantur bonis. Ideo namque advenit Dominus noster Jesus Christus, non solum ut hic ejus gloriam, sed etiam ut futuram videamus. Propterea dixit : *Volo ut ubi sum ego, et ipsi sint, ut videant* D *gloriam meam*. Quod si hæc gloria tam splendida, tam conspicua fuit, quid de illa dixerimus? Non enim in terra corruptioni obnoxia videbitur, non nobis in fluxo corpore manentibus; sed in immortali et perpetua creatura, et cum tanto splendore, ut nullo possit explicari sermone. O beati, ter beati, sæpiusque beati, qui gloriæ illius spectatores esse dignabuntur! De hac propheta dicit : Tollatur impius, ne videat gloriam Domini. Sed E absit, ut aliquis nostrum tollatur, ne illam unquam videat. Nisi enim illam consequuturi essemus, opportune a nobis diceretur : Bonum erat nobis, si nati non fuissemus. Nam cur vivimus, cur respiramus? quid sumus, si illo privemur aspectu? si Dominum nostrum nemo concedat unquam videre? Nam si qui solarem lucem non vident, morte miseriorem vitam degunt; quid eos perpeti credas, qui tali luce privantur? Hic enim damnum in hos uno constat, illic vero non item : quamvis si illud solum adesset mali, non par cruciatus esset, sed tanto gravior, quanto sol ille hoc nostro præstantior est : verum aliud quoque supplicium exspectandum est. Nam is qui lucem illam non aspicit, non in tenebras abducendus tantum est, sed perpetuo comburendus, ita ut tabescat, dentibus strideat, innumerisque aliis tormentis excrucietur. Ne itaque salutem nostram ita contemnamus, ut per brevissimi temporis negligentiam atque desidiam, in æternum conjiciamur supplicium; sed vigilemus, sobrii simus, nihil non agamus et operemur, ut illis fruamur bonis, ac procul simus ab illo fluvio igneo, qui cum multo fragore fluet ante tribunal horrendum. Qui semel illo inciderit, ibi perpetuo maneat oportet; nemo erit qui a supplicio eripiat, non pater, non mater,

Joan. 21. 25.

Joan. 17. 24.

Isai. 26. 10. in Græco.

[b] Alii ἄν τις εἴπῃ, φησίν.

[c] Morel. τοιούτων. Savil. in textu τοιούτων, in marg. τοσούτων.

[d] Sic Savil. et alii. Morel. ὡς μακάριοι. [Supra τῆς ante λαμπρότητος in Savil. et Codd. cit. omissum.] Infra Morel. περὶ ταύτης βοῶν ὁ προφ.

non frater. Hoc prophetæ clamant; alius dicit: *Psal.* 48. 8. *Frater non redimit, redimet homo?* Ezechiel vero quidpiam amplius effert his verbis: *Si steterit Noë et Job et Daniel, filios suos et filias* *Ezech.* 14. 14. et 26. *non eripient.* Unum enim ibi tantum juvat, nempe operum patrocinium, quo qui caruerit, alio modo servari non poterit. Hæc itaque perpetuo versantes et nobiscum reputantes, vitam expurgemus, et conspicuam reddamus, ut cum fiducia videamus Dominum, et promissa consequamur bona, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, una cum sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

ἅπαξ [a]ἐμπεσόντα ἐκεῖ, χρὴ μένειν διὰ παντὸς, καὶ ὁ τῆς κολάσεως ἐξαιρησόμενος οὐδεὶς, οὐ πατὴρ, οὐ μήτηρ, οὐκ ἀδελφός. Καὶ ταῦτα αὐτοὶ οἱ προφῆται βοῶσιν, ὁ μὲν λέγων, Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; C ὁ δὲ Ἰεζεκιὴλ καὶ τούτου τι πλέον ἐδήλωσεν εἰπών· Ἐὰν στῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ, τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας οὐ μὴ ἐξέλωνται. Μία γὰρ προστασία μόνη, ἡ διὰ τῶν ἔργων ἐστὶν ἐκεῖ, καὶ τὸν ταύτης ἀπεστερημένον, ἑτέρωθεν σωθῆναι οὐκ ἔνι. Ταῦτα οὖν διηνεκῶς στρέφοντες καὶ ἀναλογιζόμενοι, ἐκκαθάρωμεν ἡμῶν τὸν βίον, καὶ λαμπρὸν ποιήσωμεν, ὥστε μετὰ παῤῥησίας ἰδεῖν τὸν Κύριον καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Unus ἐκπεσόντα.

HOMILIA XIII.

D

ΟΜΙΛΙΑ ιγ'.

15. *Joannes testimonium perhibet de ipso, et clamat dicens: Hic erat quem dixi: Qui post me venturus est, ante me factus est, quia prior me erat.*

Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν.

1. Numquid frustra currimus, et frustra laboramus? num supra petras semen jacimus? num secus viam vel inter spinas jacta semina latent? Anxius sum et timeo, ne inutilis nobis agricultura sit; etiamsi nullum in hujusce laboris mercede detrimentum passurus sim: non enim eadem conditione, qua agricolæ, sunt verbi doctores. Agricola enim post annuos sæpe labores, post tantam miseriam et sudores, si terra nihil laboribus illis dignum tulerit, a nemine alio poterit consolationem accipere; sed cum tristitia et pudore ab area domum revertetur ad uxorem et filios, atque a nemine diuturni laboris mercedem repetere poterit. Nobis autem nihil hujusmodi accidet; sed etiamsi culta terra nullum fructum tulerit, si laborem nos omnem exhibuerimus, ille et terræ et cultoris Dominus non sinet nos cum vana spe recedere, sed mercedem tribuet. *Unusquisque enim*, inquit, *propriam mercedem accipiet se-*

Doctor ex auditorum segnitie præmium non amittit.

1. Cor. 3. 8.

Ἆρα μὴ εἰς κενὸν τρέχομεν καὶ κοπιῶμεν; μὴ E κατὰ πετρῶν σπείρομεν; ἆρα μὴ παρὰ τὴν ὁδὸν καὶ τὰς ἀκάνθας ἡμῖν λανθάνει τὰ σπέρματα πίπτοντα; Ἀγωνιῶ γὰρ σφόδρα καὶ δέδοικα μὴ ἀνόνητος ἡμῖν ἡ γεωργία γένηται· καὶ ταῦτα [b]οὐδὲ μέλλων αὐτὸς εἰς τὸν τοῦ κόπου τούτου παραβλάπτεσθαι μισθόν· οὐ γὰρ οἷα τῶν γηπόνων, τοιαῦτα καὶ τὰ τῶν διδασκόντων ἐστίν. Ὁ μὲν γὰρ γεωργὸς μετὰ τοὺς [c]ἐνιαυσίους πολλάκις μόχθους, καὶ τὴν ταλαιπωρίαν 72 A ἐκείνην, καὶ τοὺς ἱδρῶτας, ἂν μηδὲν ἐξενέγκῃ τῶν πόνων ἄξιον ἡ γῆ, παρ' οὐδενὸς ἑτέρου [a]δυνήσεται τῶν πόνων τινὰ παραμυθίαν εὑρεῖν· ἀλλ' ὑποστρέφει μετ' αἰσχύνης καὶ κατηφείας ἀπὸ τῆς ἅλω πρὸς τὴν οἰκίαν, καὶ τὴν γυναῖκα καὶ τὰ παιδία, οὐδένα ἔχων ἀπαιτῆσαι τῆς φιλοπονίας τῆς μακρᾶς τὴν ἀντίδοσιν. Ἐπὶ δὲ ἡμῶν οὐδὲν τοιοῦτον [b]ἔσται, ἀλλὰ κἂν ἡ γεωργουμένη γῆ μηδένα ἐξενέγκῃ καρπὸν, ἡμῶν ἅπαντα ἐπιδειξαμένων πόνον, ὁ καὶ ταύτης καὶ ἡμῶν Κύριος οὐ περιόψεται κεναῖς ἡμᾶς ἀπερχομένους ἐλπί-

[b] Morel. οὐδέν, male. [Imo bene, nec aliter habent Codd. 705, 706.]

[c] Savil. ἐνιαυσιαίους. Morel. et Mss. plurimi ἐνιαυσίους.

[a] Morel. δύναται. Savil et Mss. δυνήσεται.

[b] Savil. ἔστι. κἂν γὰρ ἡ.

στυ, ἀλλὰ δώσει τὰς ἀμοιβάς. Ἕκαστος γὰρ, φησὶ, τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον, οὐ κατὰ τὸ τῶν πραγμάτων τέλος. Καὶ ὅτι οὕτως ἔχει, ἄκουε· Καὶ B σὺ, φησὶν, υἱὲ ἀνθρώπου, διαμάρτυρε τῷ λαῷ τούτῳ, ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα συνῶσι. ᶜΚαὶ διὰ τοῦ Ἰεζεκιὴλ δὲ τοῦτο μαθεῖν ἔστιν· ἐὰν ὁ σκοπὸς γὰρ προείπῃ, τί μὲν φυγεῖν, τί δὲ ἑλέσθαι δέοι, τὴν ψυχὴν ἐξείλετο τὴν ἑαυτοῦ, κἂν ὁ προσέχων μηδεὶς ᾖ. Ἀλλ' ὅμως καὶ ἰσχυρὰν παραμυθίαν ταύτην ἔχοντες, καὶ ὑπὲρ τῆς εἰς ἡμᾶς ἀμοιβῆς θαῤῥοῦντες, ὅταν ὑμῶν τὸ ἔργον ἴδωμεν μὴ προκόπτον, οὐδὲν ἄμεινον ἐκείνων διακείμεθα τῶν γεωργῶν τῶν στεναζόντων καὶ θρηνούντων, τῶν ἐγκαλυπτομένων καὶ αἰσχυνομένων. Τοῦτο γὰρ διδασκάλου συμπάθεια, τοῦτο κηδεμονία πατρός. Ἐπεὶ καὶ Μωϋσῆς, ἐξὸν ᵈαὐτῷ τῆς ἀγνωμοσύνης ἀπαλλαγῆναι τῆς Ἰουδαϊκῆς, καὶ λαμπροτέραν ἀρχὴν ἔθνους ἑτέρου λαβεῖν καὶ πολλῷ μεί- C ζονος· Ἔασόν γάρ με, φησὶ, καὶ ἐξαλείψω αὐτοὺς, καὶ ποιήσω σε εἰς ἔθνος μέγα ἢ τοῦτο· ἐπειδὴ ἅγιος ἦν καὶ Θεοῦ δοῦλος, καὶ ᵉσφόδρα φίλος γνήσιος καὶ γενναῖος, οὐδὲ ἀκοῦσαι ταύτην ἠνέσχετο τὴν φωνὴν, ἀλλ' εἵλετο μᾶλλον ἀπολέσθαι μετὰ τῶν ἅπαξ κληρωθέντων αὐτῷ, ἢ χωρὶς ἐκείνων διασώζεσθαι, καὶ ἐν ἀξιώματι εἶναι μείζονι. Τοιοῦτον εἶναι χρὴ τὸν προεστῶτα ψυχῶν. Καὶ γὰρ ἄτοπον παῖδας μὲν ἔχοντά τινα φαύλους μὴ ἐθελῆσαι ἑτέρων κληθῆναι πατέρα, ἀλλὰ τῶν παρ' αὐτοῦ φύντων· μαθητὰς δὲ ἐγχειρισθέντας ἑτέρους ἐξ ἑτέρων ἀμείβειν ἀεὶ, καὶ νῦν μὲν τούτων, αὖθις δὲ ἐκείνων, καὶ ᶠμετὰ τούτων πάλιν ἄλλων προστασίαν ἡμᾶς ἁρπάζειν, πρὸς οὐδένα οἰ- D κείως διακειμένους. Ἀλλὰ περὶ ὑμῶν μὴ γένοιτο ταῦτα ὑποπτεῦσαί ποτε. Πεποίθαμεν γὰρ, ὅτι μᾶλλον περισσεύετε ἐν τῇ πίστει τῇ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τῇ ἀγάπῃ τῇ εἰς ἀλλήλους καὶ εἰς πάντας. Ταῦτα δὲ λέγομεν βουλόμενοι τὴν σπουδὴν ἐπιταθῆναι τὴν ὑμετέραν, καὶ ἐπὶ μεῖζον ἐπιδοθῆναι τῆς πολιτείας ὑμῶν τὴν ἀρετήν. Οὕτω γὰρ καὶ τῶν προκειμένων ἡμῖν λόγων εἰς αὐτὸ τὸ βάθος καταθεῖναι δυνήσεσθε τὰ νοήματα, ἂν μηδεμία πονηρίας λήμη τοῖς ὀφθαλμοῖς ἐπισκοτῇ τῆς διανοίας, καὶ τὸ διορατικὸν ᵍαὐτῆς καὶ ὀξὺ συνταράσσῃ. Τί ποτ' οὖν ἐστι E τὸ προκείμενον ἡμῖν σήμερον; Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· Οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Πολύς ἐστιν οὗτος ὁ εὐαγγελιστὴς ἄνω καὶ κάτω τὸν Ἰωάννην στρέφων, καὶ τὴν μαρτυρίαν αὐτοῦ πολλαχοῦ περιφέρων. Ποιεῖ δὲ οὐχ 73 A

cundum proprium laborem, non secundum rei finem. Et quod res ita se habeat, audi : Et tu, in- *Ezech.* 2.3.
quit, ***Fili hominis***, testificare populo huic, *si* 5.
forte audiant, si forte intelligant. Et per Ezechielem id ediscere licet : Si speculator prædixe- *Ezech.* 3.
rit, quid fugere, quid eligere oporteat, animam 19.
suam liberavit, quamvis nemo attendat. Attamen licet hanc firmam consolationem habeamus, licet de retributione fidamus, quando vos nihil opere proficere videmus, nihilo melius afficimur, quam agricolæ, qui gemunt et lacrymantur, ac pudore ruboreque afficiuntur. Hoc doctoris misericordia, hoc patris cura est. Etenim Moyses cum ab ingrata Judæorum gente liberari posset, splendidiusque ac multo majus in aliam gentem imperium obtinere : nam ait Deus, *Dimitte me, et* *Exod.* 32.
delebo eos, faciamque te in gentem hac ma- 10.
jorem; quia sanctus erat et Dei servus, quia vere amicus et probus, hanc vocem ne auditu quidem tulit; sed perire maluit cum gente sibi semel credita, quam sine illa servari, et ad majorem dignitatem assumi. Talem oportet eum esse, cui animarum commissa cura est. Absurdum enim esset, dum pravorum filiorum pater non vult alios, quam ab se genitos, filios suos dici, commissos discipulos semper mutare, ac nunc hos, nunc alios, posteaque novos adscribere, atque erga nullos amicitia benevolentiaque affici. Verum absit ut talia de vobis umquam suspicemur. Con- *2. Cor.* 8.7.
fidimus enim vos magis abundare in fide in Dominum nostrum Jesum Christum, et in caritate mutua erga omnes. Hæc vero dicimus ut studium vestrum augeamus, et vitæ probitatem in dies accrescere curemus. Sic enim ad verborum horumce profundum mente pertingere poteritis, si nulla nequitiæ lippitudo oculos mentis vestræ obscuret, ejusque perspicacitatem obturbet. Quid igitur nobis hodie proponitur? *Joannes testimonium perhibet de ipso, et clamat dicens : Hic erat quem dixi : Qui post me venit, ante me factus est, quia prior me erat*. Sæpe hic evangelista Joannem ultro citroque versat, ejusque testimonium circumfert. Id vero non sine causa, sed admodum prudenter præstat. Quia enim Judæi virum supra modum mirabantur (nam et Josephus Josephus Joannem Baptistam laudat.
ex ejus nece bellum ortum narrat, illiusque neci

ᶜ Savil. καὶ ὁ Ἰεζεκιὴλ δέ φησιν.
ᵈ αὐτῷ deest in Savil.
ᵉ Savil. et Mss. καὶ σφόδρα φίλος. Morel. καὶ σφόδρα φίλος.
ᶠ Savil. μετὰ τοῦτο, Morel. melius ut puto, μετὰ τούτων. Res est levissima. [Codd. 705 et 706 μετὰ τούτους. Atque accusativus omnino necessarius est. Paulo ante Cod. 706 et Savil. ἐγχειρισθέντα, melius. Infra idem Cod. προστασίας.]
ᵍ [αὐτοῖς Cod. 706.]

metropoleos excidium adscribit, ac longo sermone
laudes ejus prosequitur), ut Judæos pudore suf-
fundat, Prodromi testimonium illis frequenter
commemorat. Et alii quidem evangelistæ, facta
veterum prophetarum mentione, ad singula gesta
eo remittunt auditorem : ac quando natus est di-
Matth. 1. cunt : *Hoc autem totum factum est, ut imple-*
22. 23. *retur quod dictum est per* Isaiam *prophetam di-*
Isai. 7. 14. *centem : Ecce Virgo in utero habebit, et pariet*
filium. Et cum insidiis appeteretur, et ita diligen-
ter undique perquireretur, ut immatura etiam
ætas ab Herode jugularetur, Jeremiam illum olim
Jer. 31. 15. prophetam in medium adducunt dicentem : *Vox*
in Rama audita est, lamentatio, ploratus et
ululatus multus, Rachel plorans filios suos; et
cum ex Ægypto rediret, Oseam proferunt sic
Osee 11. 1. loquentem, *Ex Ægypto vocavi filium meum :*
v. 33. et ubique ad hunc faciunt modum. Hic vero, ut-
pote qui sublimius quam alii loquatur, clarius atque recentius proferens testimonium, non mortuos tantum, sed et viventem, qui eum et præsentem ostenderat et baptizaverat, in medium frequenter adducit; non quo Dominum servi testimonio fide dignum comprobaret, sed ut auditorum infirmitati se attemperaret. Sicut enim nisi formam servi accepisset, non acceptus admissusque fuisset: sic nisi servi voce conservorum aures assuefecisset, maxima pars Judæorum, sermoni non obtemperasset.

2. Ad hæc aliud apparabatur magnum et mirabile. Quia enim, qui de seipso magnum quidpiam effert, suspectus est, et auditorum plurimos sæpe offendit; ideo alius de illo testificaturus accedit. Alioquin autem, quia solet multitudo ad familiarem sibi et innatam vocem accurrere, utpote quam

ἁπλῶς τοῦτο, ἀλλὰ καὶ σφόδρα συνετῶς. Ἐπειδὴ γὰρ πολὺ τὸ θαῦμα εἶχον τοῦ ἀνδρὸς τούτου πάντες οἱ Ἰουδαῖοι (καὶ γὰρ καὶ ὁ Ἰώσηπος τῇ τούτου τελευτῇ τὸν πόλεμον λογίζεται, δι' αὐτόν τε δείκνυσι μηδὲ πόλιν εἶναι τὴν ποτὲ μητρόπολιν οὖσαν, καὶ [a] μακροὺς συνείρει περὶ αὐτοῦ λόγους ἐγκωμίων), ἀπ' αὐτοῦ τοίνυν τοὺς Ἰουδαίους ἐντρέψαι βουλόμενος, συνεχῶς αὐτοὺς ἀναμιμνήσκει τῆς τοῦ προδρόμου μαρτυρίας. Καὶ οἱ μὲν ἄλλοι εὐαγγελισταὶ τῶν παλαιοτέρων μέμνηνται προφητῶν, καὶ καθ' ἕκαστον τῶν [b] ἐπ' αὐτῷ γινομένων ἐκεῖ παραπέμπουσι τὸν ἀκροατὴν, καὶ ὅταν τίκτηται, λέγοντες· Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ B τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν· καὶ ὅταν ἐπιβουλεύηται, καὶ πανταχόθεν οὕτως ἀκριβῶς ἀναζητῆται, ὡς καὶ τὴν ἄωρον ἡλικίαν σφάττεσθαι ὑπὸ Ἡρώδου, τὸν Ἱερεμίαν εἰς μέσον πόῤῥωθεν ἄγειν λέγοντα· Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς, καὶ ὀδυρμὸς πολὺς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς· [c] καὶ τοῦ Ὡσηὲ μεμνημένοι, ὅταν ἐξ Αἰγύπτου πάλιν ἀναβαίνῃ, * Ἐξ Αἰγύπτου, λέγοντα καὶ αὐτὸν, ἐκάλεσα τὸν υἱόν μου· καὶ πανταχοῦ τοῦτο ποιοῦσιν. Οὗτος δὲ τρανοτέραν τὴν μαρτυρίαν ἐργα- C ζόμενος καὶ νεαρωτέραν, ἅτε καὶ μεγαλοφωνότερον τῶν ἄλλων φθεγξάμενος, οὐ τοὺς ἀπελθόντας, οὐδὲ τοὺς τετελευτηκότας μόνον, ἀλλὰ καὶ τὸν ζῶντα καὶ παραγενόμενον ὑποδείξαντα καὶ βαπτίσαντα αὐτὸν, τοῦτον εἰς μέσον ἄγει συνεχῶς· [d] οὐ τὸν Δεσπότην ἀπὸ τοῦ δούλου ποιῆσαι ἀξιόπιστον σπεύδων, ἀλλὰ τῇ τῶν ἀκροατῶν ἀσθενείᾳ συγκαταβαίνων. Ὥσπερ γὰρ εἰ μὴ τὴν τοῦ δούλου μορφὴν ἔλαβεν, οὐκ ἂν εὐπαράδεκτος γέγονεν· οὕτως εἰ μὴ τῇ τοῦ δούλου φωνῇ τὰς ἀκοὰς τῶν ὁμοδούλων προεγύμνασεν, οὐκ ἂν οἵ γε πολλοὶ τῶν Ἰουδαίων τὸν λόγον ἐδέξαντο.

Πρὸς δὲ τούτῳ καὶ ἕτερον κατεσκευάζετο μέγα τι D καὶ θαυμαστόν. Ἐπειδὴ γὰρ τὸ αὐτόν τινα περὶ ἑαυτοῦ μέγα τι λέγειν, ὕποπτον ποιεῖ τὴν μαρτυρίαν, καὶ προσίσταται πολλοῖς τῶν ἀκουόντων πολλάκις, ἕτερος περὶ αὐτοῦ παραγίνεται μαρτυρήσων. ** Χωρὶς δὲ τούτων, καὶ ὅτι εἰώθασί πως οἱ πολλοὶ πρὸς τὴν συνηθε-

[a] Quidam Mss. μακροὺς αἴρει. Quod autem hic dicit Chrysostomus, Josephum Jerosolymorum excidium Joannis Baptistæ neci adscribere, non omnino consonat cum iis quæ narrat Josephus l. 18, c. 6, ubi dicit, totum Herodis exercitum cæsum fuisse ab Areta Arabiæ Petrææ rege : et hanc cladem, non autem excidium Jerosolymorum, Joannis Baptistæ neci adscribit. Non desunt autem inter viros doctos qui hunc Josephi de Joanne Baptista locum suspectum habeant. Sed hæc fusius persequi non est præsentis instituti.

[b] Savil. ἐπ' αὐτοῦ. Morel. ἐπ' αὐτῷ. Infra Morel. minus recte ἐπιβουλεύηται, καὶ πάντα τὰ αὐτοῦ ὄντως ἀνεζήτη, ὡς καὶ περὶ τῆς ἀώρου ἡλικίας τῆς σφαττομένης. [Inferius Savil. et Cod. 705 εἰς μέσον ἄγοντες τὸν λέγοντα.]

[c] Morel. καὶ τὸν Ὡσηὲ παριστάντες.

* [Savil. ἐξ Αἰγ., λέγοντος, ἐκάλεσα. Cod. 706 Ἐξ Αἰγ. γάρ, φησί, ἐκ. et similiter Cod. 705. Quem vero accusativum λέγοντα καὶ αὐτόν habet Montf, is cum Morelli verbis τὸν Ὡσηὲ παριστάντες congruit, non cum ipsius Montfauconi τοῦ Ὠσ. μεμν.]

[d] Sic Mss. et Savil.; Morel. οὐ τὸν δεσπότην ἐντεῦθεν, ἄπαγε, ἀπὸ τοῦ δούλου.

** [Savil. et Codd. 705, 706 καὶ χωρὶς τούτων (δὲ τούτων 705) εἰώθασί πως.]

στέραν καὶ σύντροφον αὐτοῖς ἐπιτρέχειν μᾶλλον φωνὴν, ἅτε αὐτὴν μᾶλλον τῶν ἄλλων ἐπιγινώσκοντες· διὰ δὴ τοῦτο ἡ μὲν ἀπὸ τοῦ οὐρανοῦ γέγονεν ἅπαξ ἢ δὶς, ἡ δὲ τοῦ Ἰωάννου πολλάκις καὶ συνεχῶς. [a] Οἱ μὲν γὰρ ἀναβεβηκότες τοῦ λαοῦ τὴν ἀσθένειαν, καὶ τῶν αἰσθητῶν ἁπάντων ἀπαλλαγέντες, καὶ τῆς ἄνωθεν ἀκούειν ἠδύναντο φωνῆς, καὶ οὐ σφόδρα τῆς ἀνθρωπίνης [f] ἐδέοντο, ἅτε ἐκείνῃ πάντα πειθόμενοι καὶ ὑπ' αὐτῆς ἤγοντο· οἱ δὲ ἔτι κάτω στρεφόμενοι καὶ πολλοῖς προκαλύμμασι E συγκεκαλυμμένοι, τῆς ταπεινοτέρας ταύτης ἐδέοντο. 74 Οὕτω γοῦν καὶ ὁ Ἰωάννης, ἐπειδὴ πάντοθεν ἑαυτὸν A ἐγύμνωσε τῶν αἰσθητῶν, οὐκ ἐδεῖτο [a] διδασκάλων ἀνθρώπων, ἀλλ' ἀπὸ τῶν οὐρανῶν ἐπαιδεύετο. Ὁ γὰρ πέμψας με βαπτίζειν, φησὶν, ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον, οὗτός ἐστιν. Οἱ δὲ ἔτι παῖδες Ἰουδαῖοι, καὶ πρὸς τὸ ὕψος ἐκεῖνο μηδέπω φθάσαι δυνάμενοι, ἄνθρωπον εἶχον διδάσκαλον, [b] οὐ τὰ ἑαυτοῦ αὐτοῖς λέγοντα, ἀλλὰ τὰ ἄνωθεν ἀπαγγέλλοντα. Τί οὖν οὗτός φησιν; Αὐτὸς μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων. Τί ἐστι τὸ, Κέκραγε; Μετὰ παῤῥησίας, φησὶ, μετὰ ἐλευθερίας, χωρὶς ὑποστολῆς ἁπάσης ἀνακηρύττει. Καὶ τί ἀνακηρύττει; τί δὲ μαρτυρεῖ καὶ κέκραγεν; Οὗτος ἦν, φη- B σὶν, ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Συνεσκιασμένη ἡ μαρτυρία, καὶ ἔτι πολὺ τὸ ταπεινὸν ἔχουσα. Οὐ γὰρ εἶπεν, οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ ὁ μονογενής[*]· ἀλλὰ τί; Οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτος μου ἦν. Καθάπερ γὰρ αἱ μητέρες [c] τῶν ὀρνίθων τοὺς νεοττοὺς οὐκ εὐθέως οὐδὲ ἐν ἡμέρᾳ μιᾷ τὴν πτῆσιν ἐκδιδάσκουσιν ἅπασαν, ἀλλὰ νῦν μὲν τοσοῦτον ἐξάγουσιν ὅσον ἔξω γενέσθαι τῆς καλιᾶς, νῦν δὲ αὐτοὺς ἀναπαύσασαι [d] πρῶτον, προσβιβάζουσι τῇ πτήσει πάλιν, καὶ τῇ μετὰ ταύτην ἡμέρᾳ ἑτέραν πολλῷ πλείονα προστιθέασι, καὶ οὕτως ἠρέμα καὶ κατὰ μικρὸν ἐπὶ τὸ προσῆκον ἄγουσιν ὕψος· τὸν αὐτὸν τρόπον καὶ ὁ μακάριος Ἰωάννης οὐκ εὐθέως C ἐπὶ τὰ ὑψηλὰ τοὺς Ἰουδαίους ἤγαγεν, ἀλλὰ τέως μικρὸν τῆς γῆς ἀναπτῆναι ἐδίδαξεν, εἰπὼν, ὅτι αὐτοῦ κρείττων ἦν ὁ Χριστός. Οὐδὲ γὰρ οὐδὲ τοῦτο μικρὸν ἦν τέως, τὸ τοὺς ἀκούοντας τοῦ οὕτω θαυμασίου, τοῦ Ἰωάννου λέγω, καὶ περιφανοῦς, καὶ πρὸς ὃν ἅπαντες ἔτρεχον, καὶ ὃν ἄγγελον ἐνόμιζον εἶναι, τὸν οὐδέπω φανέντα οὐδὲ θαυματουργήσαντα, [e] δυνηθῆναι πιστεῦσαι

melius noverint: ideo vox de cælo semel aut bis audita est, vox vero Joannis frequentissime. Nam qui populi imbecillitatem superabant, et a sensilibus omnibus exemti erant, quique supernam vocem audire poterant, non admodum opus habebant humana; quippe qui huic omnino obtemperabant, et ab illa ducebantur. Qui vero adhuc circa infima versabantur, et multa terrenarum rerum caligine obtegebantur, hac humiliore egebant voce. Sic ergo Joannes, quia sensilibus se undique exuit, magistris hominibus opus non habuit, sed ex cælo eruditus est. Nam ait, *Qui misit me baptizare in aqua, ille mihi dixit: Super quem videris Spiritum Dei descendentem, hic est.* Judæi vero adhuc infantes, qui ad altitudinem illam attingere nondum poterant, hominem habebant magistrum, non sua eis, sed cælestia annuntiantem. Quid ergo hic loquitur? *Ipse testimonium perhibet de eo, et clamat dicens.* Quid sibi vult illud, *Clamat?* Cum fiducia, cum libertate, omni abjecta formidine prædicat. Quid testatur et clamat? *Hic erat*, inquit, *quem dixi, qui post me venit, ante me factus est, quia prior me erat.* Obscurum est testimonium, et adhuc valde humile ac demissum. Non enim dixit, Hic est Filius Dei unigenitus: sed quid? *Hic erat quem dixi, qui post venit, ante me factus est, quia prior me erat.* Quemadmodum enim aviculariun matres pullos suos non statim nec uno die volandi artem totam edocent; sed primo ex nido educunt tantum, deinde a volatu requiescere sinunt, post ad volatum exercent, dieque postera multo majus volandi exercitium addunt, sicque paulatim ac sensim ad congruentem altitudinem educunt: ita beatus Joannes non statim ad sublimia Judæos deduxit; sed paululum e terra educit et volare docet, cum ait, Christum se meliorem esse. Neque enim parum interim illud erat, quod auditores credere possent illum, qui nondum visus fuerat, nec miracula ediderat, esse majorem Joanne, tam mirabili et illustri viro, ad quem omnes accurrebant, quemque angelum esse putabant. Interim vero id auditorum animis suadere conabatur, eum, de quo testimonium perhibebatur, perhi-

v. 25.

Joannis Bapt. prædicandi modus.

[a] Savil. [et Codd. cit.] *οἱ μὲν γὰρ ἀναβεβηκότες.* [Alii et Interp. *ὑπεραναβεβηκότες.*]

[f] Savil. et Mss. *ἐδέοντο, ἀλλ' ἐκείνῃ πάντα ἐπείθοντο, καὶ ὑπ' ἐκείνης ἤγοντο κ. τ. λ.* Morel. totum locum sic habet: *ἐδέοντο, ἅτε ἐκείνῃ πάντα πειθόμενοι· οἱ δὲ ἔτι κάτω στρεφόμενοι, καὶ πολλῶν ἄλλων διὰ τὸ χαμαὶ κεῖσθαι ἔχρῃζον.*

[a] Savil. [et Codd. 705, 706] *διδασκάλων ἑτέρων.*

[b] [Savil. et Codd. cit. addunt *ἄνθρωπον μέν.*]

[*] [Iidem addunt *ὁ γνήσιος παῖς.*]

[c] Morel. *ἐπὶ τῶν ὀρνίθων*, minus recte.

[d] Savil. *πρῶτον προστιθέασι.* Et paulo post *πλέονα συνάπτουσι.* Morelli lectio commodior videtur. Utraque Manuscriptis fulcitur.

[e] Savil. *δυνηθῆναι πεῖσαι.* Morel. *δυνηθῆναι πιστεῦσαι* Mss. alii hanc, alii illam efferunt lectionem.

bente majorem esse, eo qui jam venerat eum qui venturus erat, conspicuo et illustri eum qui nondum apparuerat esse præstantiorem. Vide quam prudenter testimonium proferat. Non præsentem modo ostendit, sed antequam appareat prædicat. D Illud enim, *Hic est quem dixi*, id significat, quemadmodum et Matthæus ait : Omnibus qui Matth. 3. 11. ad se veniebant dicebat : ***Ego quidem baptizo vos in aqua : qui autem post me venit, fortior me est, cujus ego non sum dignus solvere corrigiam calceamenti.*** Cur ergo antequam appareret, ita loquutus est? Ut acceptum esset apparentis testimonium, jam auditorum animis ad hoc apparatis per Joannis sermonem; neve Christi vile indumentum officeret ipsi. Nam nisi aliquid de Christo audissent antequam illum viderent, E nisi testimonium illud magnum et mirabile de illo accepissent, habitus humilitas statim dictorum magnitudini obstitisset. Christus enim tam trivio et vulgari habitu incedebat, ut et Samaritanæ mulieres, et meretrices, et publicani cum 76 A magna libertate ac fiducia ad illum accederent ipsumque alloquerentur.

3. Ut ergo dixi, si hæc verba simul audissent et ipsum vidissent, Joannis testimonium irrisissent. Cum vero ante Christi adventum id sæpe audissent, et ex dictis videndi cupidine concitati essent, contrarium accidit : neque viso illo de quo testimonium perhibitum fuerat, ejus doctrinam abjecerunt, sed ex fide quam ex dictis conceperant, ipsum clariorem putarunt. Illud autem, ***Qui post me venturus est***, hoc est, prædicaturus, non, futurus. Hoc enim Matthæus quoque signi- B ficat cum ait, ***Post me venit vir ;*** non de ejus ex Maria generatione loquens, sed de adventu ad prædicandum. Nam si de generatione loquutus esset, non dixisset de præsenti, sed de præterito : jam enim natus erat Christus, cum hæc Joannes diceret. Quid autem significat illud, ***Ante me factus est ?*** Clarior nempe ac splendidior. Nam quod prior prædicans venerim ego, ne me ideo majorem esse putetis : longe minor ego sum, et usque adeo minor, ut ne quidem illius servus censeri dignus sim. Id enim significat illud, ***An-*** C ***te me factus est :*** quod alio declarat modo Matthæus his verbis, ***Non sum dignus solvere cor-***

κρείττονα εἶναι. Τέως οὖν τοῦτο κατορθῶσαι ἐσπούδαζεν ἐν ταῖς τῶν ἀκροατῶν διανοίαις, ὅτι τοῦ μαρτυροῦντος ὁ μαρτυρούμενος μείζων, τοῦ παραγενομένου πρώτου ὁ μετὰ ταῦτα ἐλθὼν, τοῦ δήλου καὶ περιφανοῦς ὁ D μηδέπω φανείς. Καὶ ὅρα πῶς συνετῶς εἰσάγει τὴν μαρτυρίαν. Οὐ γὰρ φανέντα μόνον ἐπιδείκνυσιν, ἀλλὰ καὶ πρὶν ἢ φανῆναι ἀνακηρύττει. Τὸ γὰρ, Οὗτός ἐστιν ὃν εἶπον, τοῦτο δηλοῦντός ἐστιν· ὥσπερ οὖν καὶ Ματθαῖος λέγει, ὅτι πάντων ἐρχομένων πρὸς αὐτὸν ἔλεγεν· Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος. Τίνος οὖν ἕνεκεν καὶ πρὸ τοῦ φανῆναι τοῦτο ἐποίησεν; Ἵνα εὐπαράδεκτος ἡ μαρτυρία γένηται φανέντος, τῆς διανοίας ἤδη τῶν ἀκουσάντων προκατασχεθείσης τοῖς E περὶ αὐτοῦ λεχθεῖσι, καὶ μηδὲν τῆς εὐτελοῦς περιβολῆς λυμαινομένης [f] αὐτῇ. Εἰ μὲν γὰρ μηδὲν μηδ' ὅλως ἀκούσαντες εἶδον τὸν Χριστὸν αὐτὸν, καὶ ὁμοῦ μετὰ τῆς θέας καὶ τὴν τῶν λόγων μαρτυρίαν ἐδέξαντο τὴν οὕτω θαυμαστὴν καὶ μεγάλην, εὐθέως ἂν τὸ τοῦ σχήματος εὐτελὲς προσέστη τῷ μεγέθει τῶν λεγομένων. 76 A Οὕτω γὰρ εὐτελὲς περιέκειτο σχῆμα καὶ κοινὸν ἅπασιν ὁ Χριστὸς, ὡς καὶ Σαμαρείτιδας γυναῖκας, καὶ πόρνας, καὶ τελώνας μετὰ πολλῆς τῆς ἀδείας θαῤῥεῖν αὐτῷ προσίεναι καὶ διαλέγεσθαι.

Ὅπερ οὖν ἔφην, εἰ ὁμοῦ καὶ τῶν ῥημάτων τούτων ἤκουσαν, καὶ αὐτὸν ἐθεάσαντο, κἂν κατεγέλασαν τῆς μαρτυρίας τοῦ Ἰωάννου. Νῦν δὲ πρὶν ἢ φανῆναι τὸν Χριστὸν πολλάκις ἀκούοντες, καὶ ἐρεθιζόμενοι τοῖς λεγομένοις περὶ αὐτοῦ, τοὐναντίον ἔπασχον, οὐ τὴν τῶν ῥημάτων διδασκαλίαν ἀπὸ τῆς ὄψεως τοῦ μαρτυρηθέντος ἐκβάλλοντες, ἀλλὰ ἀπὸ τῆς πίστεως τῶν ἤδη λεχθέντων καὶ αὐτὸν λαμπρότερον εἶναι νομίζοντες. Τὸ δὲ, Ὀπίσω μου ἐρχόμενος, ὁ μετ' ἐμὲ κηρύσσων, οὐχ B ὁ μετ' ἐμὲ γενόμενός ἐστι. Τοῦτο γοῦν καὶ ὁ Ματθαῖος αἰνίττεται λέγων, Ὀπίσω μου ἔρχεται ἀνήρ· οὐ περὶ τῆς ἐκ Μαρίας γεννήσεως αὐτοῦ λέγων, ἀλλὰ περὶ τῆς παρουσίας τῆς κατὰ τὸ κήρυγμα. Εἰ γὰρ περὶ τῆς γεννήσεως ἔλεγεν, οὐκ ἂν εἶπεν, Ἔρχεται, ἀλλ', ἦλθε· γεγεννημένος γὰρ ἦν ὅτε ταῦτα ἐλέγετο. Τί οὖν ἐστι τὸ, Ἔμπροσθέν μου γέγονε; Λαμπρότερος, [a] ἐντιμότερος. Μὴ γὰρ, ἐπειδὴ πρῶτος ἦλθον κηρύττων ἐγὼ, ἀπὸ τούτου μείζονα ἐκείνου με εἶναι νομίσητε· πολὺ γὰρ ἐλάττων ἐγὼ, καὶ τοσοῦτον ἐλάττων, ὡς μηδὲ εἰς δούλου τάξιν ἄξιος εἶναι καταλέγεσθαι. Τοῦτο γάρ ἐστι C τὸ, Ἔμπροσθέν μου γέγονεν· ὅπερ ἑτέρως παραδηλῶν ὁ Ματθαῖος ἔλεγεν· Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ. Ὅτι δὲ οὐδὲ τὸ, Ἔμπροσθέν

[f] Savil. et Mss. plurimos sequimur. [Quidam addunt *ἀλλὰ μετὰ ἀδείας δυναμένης τὰς τῶν πολλῶν ψυχὰς κατα-*]

[a] Mss. et Savil. *ἐντιμότερος. μὴ γὰρ ἐπειδή.* Morel. quædam addit.

μου γέγονε, περὶ τῆς εἰς τὸ εἶναι παρόδου εἴρηται, διὰ τῆς ἐπαγωγῆς δῆλόν ἐστιν. Εἰ γὰρ τοῦτο ἐβούλετο εἰπεῖν, περιττὸν τὸ ἐπαγόμενον ἦν τὸ, Ὅτι πρῶτός μου ἦν· Τίς γὰρ οὕτως ἠλίθιος καὶ ἀνόητος, ὡς ἀγνοῆσαι ὅτι ὁ ἔμπροσθεν αὐτοῦ γενόμενος πρῶτος αὐτοῦ ἦν; * Εἰ γὰρ περὶ ὑπάρξεως τῆς προαιωνίου, οὐδὲν ἕτερόν ἐστι τὸ λεγόμενον, ἀλλ' ἢ ὅτι D Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν. Ἄλλως δὲ καὶ ἀπερινόητον τὸ τοιοῦτον, καὶ ἡ αἰτία εἰκῇ προσέῤῥιπται. Τοὐναντίον γὰρ, εἰ τοῦτο ἐβούλετο δηλῶσαι, ἐχρῆν εἰπεῖν, ὅτι ὁ ὀπίσω μου ἐρχόμενος, πρῶτός μου ἦν, ἐπειδὴ καὶ ἔμπροσθέν μου γέγονε. Τοῦ μὲν γὰρ πρῶτον εἶναι εἰκότως ἄν τις ταύτην δοίη τὴν αἰτίαν [b] τὴν τοῦ γενέσθαι· τοῦ δὲ πρῶτον γενέσθαι, οὐκ ἔτι τὸ πρῶτον εἶναι αἴτιον. Ὃ δὲ ἡμεῖς λέγομεν, σφόδρα ἂν ἔχοι λόγον. Ἴστε γὰρ δήπου τοῦτο πάντες, ὅτι οὐ τὰ δῆλα, ἀλλὰ τὰ ἄδηλα ἀεὶ αἰτιολογίας δεῖται. Εἰ δὲ περὶ οὐσιώσεως ὁ λόγος ἦν, οὐκ ἦν ἄδηλον, E ὅτι πρῶτον γενόμενον πρῶτον ἔδει εἶναι· ἐπειδὴ δὲ περὶ τιμῆς διαλέγεται, εἰκότως τὴν δοκοῦσαν ἀπορίαν εἶναι λύει. Καὶ γὰρ εἰκὸς ἦν πολλοὺς ἀπορεῖν, πόθεν καὶ ἐκ ποίας προφάσεως ὁ ὕστερον ἐρχόμενος ἔμπροσθεν γέγονε· τουτέστιν, ἐντιμότερος ἐφάνη. Ταύτης 78 A τοίνυν τῆς ζητήσεως τίθησιν εὐθέως τὴν αἰτίαν· ἡ δὲ αἰτία, τὸ πρῶτον εἶναι αὐτόν. Οὐδὲ γὰρ ἐκ τινὸς, φησὶ, προκοπῆς πρῶτόν με ὄντα ὀπίσω ῥίψας ἔμπροσθεν γέγονεν, ἀλλὰ Πρῶτός μου ἦν, εἰ καὶ ὕστερος παραγίνεται. Καὶ πῶς, φησὶν, εἰ περὶ τῆς ἐκφάνσεως τῆς εἰς ἀνθρώπους ἦν, καὶ τῆς μελλούσης ἔψεσθαι παρ' αὐτῶν δόξης ὁ λόγος, τὸ μηδέπω τέλος εἰληφὸς ὡς ἤδη γεγεννημένον λέγει; οὐ γὰρ εἶπε, γενήσεται, ἀλλὰ, Γέγονεν. Ὅτι ἔθος τοῦτο τοῖς προφητεύουσιν ἄνωθέν ἐστιν, ὡς περὶ γεγενημένων πολλαχοῦ περὶ τῶν μελλόντων διαλέγεσθαι. Ὁ γοῦν Ἡσαΐας περὶ τῆς σφαγῆς αὐτοῦ λέγων, οὐκ εἶπεν, ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθήσεται, ὅπερ ἦν μέλλοντος· ἀλλ', Ὡς πρό- B βατον ἐπὶ σφαγὴν ἤχθη· καίτοι οὐδέπω σαρκωθεὶς ἦν, ἀλλ' ὅμως τὸ ἐσόμενον ὁ προφήτης ὡς γεγενημένον λέγει. Καὶ ὁ Δαυὶδ τὸν σταυρὸν δηλῶν, οὐκ εἶπεν, ὀρύξουσι χεῖράς μου καὶ πόδας· ἀλλ', Ὤρυξαν χεῖράς μου καὶ πόδας· καὶ, Διεμερίσαντο τὰ ἱμάτιά μου, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Καὶ περὶ τοῦ προδότου διαλεγόμενος τοῦ μηδέπω γεννηθέντος, οὕτω πως φησίν· Ὁ ἐσθίων ἄρτους μου, [a] ἐμεγάλυνεν ἐπ' ἐμὲ

rigiam calceamenti ejus. Quod vero illud, *Ante me factus est*, non intelligatur de Christi ortu, ex hoc additamento patet. Nam si id dicere voluisset, superfluum fuisset id quod additur, *Quia prior me erat*. Quis enim ita stultus et insipiens est ut ignoret, eum qui ante se factus fuerit se priorem esse? Quod si id de illa quæ ante sæcula est exsistentia intelligatur, nihil aliud significat dictum illud, nisi hoc, *Qui post me venit, ante me factus est*. Alioquin autem hoc inconsiderate dictum esset, et causa temere projecta fuisset. Nam si hoc significare voluisset, contrario modo res enuntianda erat, Qui post me venit, prior me erat, quia ante me factus est. Nam quod quidam prior sit, jure quis hanc causam dederit, quod prior factus sit : quod vero prior factus sit, non id in causa est quod sit prior. Quod vero nos dicimus, firma ratione nititur. Scitis quippe omnes, non manifestorum, sed obscurorum causam esse semper afferendam. Quod si de essentia sermo esset, non esset obscurum, eum qui prior factus sit, priorem esse oportere; quia autem de honore disserit, jure eam quæ videbatur inesse difficultatem solvit. Nam verisimile est, multos in dubium vocaturos esse, cur et qua de causa is qui posterior advenit, prior sit; id est, honorabilior visus sit. Hujus ergo quæstionis statim causam et solutionem affert, *Quia prior me erat*. Neque enim, inquit, quodam profectu auctus, me priore retrorsum abjecto, prior ipse factus est; sed *Prior me erat*, etsi posterior adveniat. Et quomodo, inquies, si de conspicuo ejus adventu, deque gloria ipsum exceptura sermo est, id quod nondum finem acceperat ut jam factum dicit? non enim dicit, Fiet; sed, *Factus est*. Quia id jam olim prophetis in more fuit, qui de futuris rebus quasi jam factis loquuntur. Nam Isaias de nece illius loquens, non dixit, Tamquam ovis ad occisionem ducetur, quod futurum erat; sed, *Tamquam ovis ad occisionem ductus est*. Atqui nondum incarnatus erat; sed id quod futurum erat propheta, quasi factum narrat. Et David crucem significans, non dixit : Fodient manus meas et pedes meos; sed, *Foderunt manus meas et pedes meos*; et, *Diviserunt sibi vestimenta mea, et super vestem meam miserunt sortem*. Et de proditore verba faciens, qui nondum natus erat, sic ait : *Qui edebat panes meos, magnificavit super me*

Prophetæ futura ut jam facta sæpe nunciant.

Isai. 53. 7.

Psal. 21. 17. et 19.

Psal. 40. 10.

* [εἰ δὲ π. ὑπ. ἦν Savil. et Cod. 705.]

b Morel. τὴν τοῦ γενέσθαι: quidam Mss. τὸ πρῶτον γενέσθαι: in Savil. hæc desunt.

a Morel. ἐμεγάλυνεν, Savil. ἐπῆρεν. [Idem paulo ante οὕτως ἔλεγεν.] Ibid. ὁμοίως deest in Savil..

supplantationem. Similiter et de iis quæ in cru-
Psal. 68. 22. ce contigerunt loquens dicit : *Dederunt in escam meam fel, et in siti mea potaverunt me aceto.*

4. Vultisne alia inducamus, an hæc vobis sunt C satis? Ego sane arbitror. Nam si non latius locum exploravimus, sane profundius scrutati sumus: nec minor hac in re, quam in illa, labor est; veremurque ne si vos in his sine modo detineamus, fastidium ingeneremus. Quamobrem, uti par est, finem dicendi faciamus. Quis porro finis est congruentior? Si debita Deo gloria referatur; non verbis tantum, sed multo magis operibus.
Matth. 5. 16. *Luceat*, inquit, *lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent* D *Patrem vestrum qui in cælis est.* Nihil enim splendidius, dilecte, optimo vitæ instituto. Hoc sapiens ille declarat: *Viæ autem justorum ut lux splendent.* Splendent certe non iis modo qui per opera lumen accendunt, et ad rectam ducunt viam, sed et vicinis eorum. Infundamus ergo oleum hisce lampadibus, ut sublimior sit ignis, et lux appareat locupletior. Hoc enim oleum non nunc tantum magnam vim habet, sed cum etiam sacrificia florerent, mirum in modum virtutem il-
Osee 6. 6. lorum probavit: nam ait: *Oleum enim volo et* E
Matth. 9. 13. *non sacrificium.* Et merito quidem. Illud enim altare inanimatum erat, hoc vero animatum est: et illic quidem quidquid impositum est, igne consumitur, in cinerem abit, atque effunditur, dissolutusque fumus in aeris naturam transit: hic vero 77 nihil simile; sed alios fert fructus. Hæc Paulus A declaravit; cum enim Corinthiorum, qui pauperum studiosi erant, thesauros enarraret, hæc scri-
2. Cor. 9. 12. psit: *Quoniam ministerium hujus officii non solum supplet ea quæ desunt sanctis, sed etiam abundat per multas gratiarum actiones Deo;*
Ibid. v. 13. et 14. ac rursum, *Glorificantes Deum in obedientia confessionis vestræ in evangelio, et simplicitate communicationis vestræ in illos, et in omnes, et in ipsorum obsecratione pro vobis, desiderantium vos.* Viden' illum in gratiarum actionem desinere, et in Dei laudem; in frequen- B tes eorum precationes, qui beneficia acceperunt, in ferventiorem caritatem? Sacrificemus ergo,

Vitæ instituto optimo nihil splendidius. Prov. 4. 18.

πτερνισμόν. Ὁμοίως καὶ περὶ τῶν ἐν τῷ σταυρῷ γενομένων λέγει· Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Βούλεσθε καὶ τὸ ἑξῆς ἐπαγάγωμεν, ἢ καὶ ταῦτα ἀπόχρη; Ἔγωγε οἶμαι. Εἰ γὰρ καὶ μὴ κατὰ πλάτος διωρύξαμεν [b] τὸ χωρίον, ὅμως γ' οὖν κατὰ βάθος διεσκάψαμεν· οὐκ ἐλάττονα δὲ καὶ τοῦτο ἐκείνου πόνον ἔχει· καὶ δεδοίκαμεν μὴ κατατείναντες ὑμᾶς ἀμέτρως, ποιήσωμεν ἀναπεσεῖν. Διὸ τέλος ἐπιθῶμεν τῷ λόγῳ τὸ προσῆκον. Ποῖον δέ ἐστι τὸ προσῆκον; Δοξολογία ἡ πρέπουσα τῷ Θεῷ· πρέπει δὲ οὐχ ἡ διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἡ διὰ τῶν πραγμάτων. Λαμψάτω γὰρ ὑμῶν τὸ φῶς, φησὶν, ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Καὶ γὰρ οὐδὲν φωτεινότερον τῆς ἀρίστης πολιτείας, ἀγαπητέ. Τοῦτο δηλῶν καὶ τίς φησι τῶν σοφῶν· Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι. Λάμπουσι δὲ οὐκ αὐτοῖς μόνον τοῖς τὸ φῶς ἀνάπτουσι διὰ τῶν ἔργων, καὶ ὁδηγοῦσι πρὸς τὴν ὀρθὴν ὁδὸν, ἀλλὰ καὶ τοῖς πλησίον οὖσιν ἐκείνων. [c] Ἐγχέωμεν τοίνυν τὸ ἔλαιον ταῖς λαμπάσι ταύταις, ὥστε μετεωρότερον γενέσθαι τὸ πῦρ, ὥστε πλούσιον φανῆναι τὸ φῶς. Τὸ γὰρ ἔλαιον τοῦτο οὐ νῦν μόνον πολλὴν ἔχει τὴν ἰσχύν· ἀλλ' ὅτε καὶ αἱ θυσίαι ἤνθουν, παρευδοκίμησε πολλῷ τῷ τρόπῳ τὴν ἐκείνων δύναμιν· [d] Ἔλεον γὰρ, φησὶ, θέλω καὶ οὐ θυσίαν· καὶ μάλα εἰκότως. Ἐκεῖνο μὲν γὰρ ἄψυχον τὸ θυσιαστήριον, τοῦτο δὲ ἔμψυχον· κἀκεῖ μὲν τὸ ἐπικείμενον ἅπαν τοῦ πυρὸς γίνεται δαπάνη, καὶ τελευτᾷ εἰς κόνιν, καὶ διαχεῖται εἰς τέφραν, καὶ εἰς τὴν τοῦ ἀέρος ὁ καπνὸς ἀναλύεται φύσιν· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· ἀλλ' ἑτέρους φέρει τοὺς καρπούς. Καὶ ταῦτα ὁ Παῦλος ἐδήλωσε λέγων· τῆς γὰρ φιλοπτωχίας τῶν Κορινθίων τοὺς θησαυροὺς διηγούμενος, οὕτως ἔγραφεν· Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ· καὶ πάλιν, Δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον, καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ τῇ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς. Ὁρᾷς εἰς εὐχαριστίαν ἀναλυομένην αὐτὴν, καὶ αἶνον τοῦ Θεοῦ, καὶ συνεχεῖς εὐχὰς τῶν εὖ παθόντων, καὶ θερμοτέραν ἀγάπην; Θύωμεν τοίνυν, ἀγαπητοὶ, θύω-

[b] Savil. τὸ χωρίον· ἀλλὰ κατά.

[c] Alii ἐγχέωμεν. Paulo post Morel. μετεωρότερον. Savil. ὑψηλότερον.

[d] ἔλεον... θέλω, καὶ οὐχὶ θυσίαν. *Oleum volo, et non sacrificium.* Ex similitudine vocem ἔλεον *misericordiam*, et ἔλαιον *oleum*, quæ Chrysostomi tempore eodem modo pronuntiabantur, factum, ut quædam exemplaria Græca hic ἔλαιον haberent, et fortassis in priscis Chrysostomi exemplaribus ἔλαιον hic legebatur. Certe liquet hoc loco oleum intelligi, et hanc lectionem hic Chrysostomus adhibuit, qui altera alibi utitur ubi de misericordia agitur, ut ad Stagirium l. 1, Tom. 1, p. 168, et alibi; sed quia hic ἔλαιον *oleum* ad seriem suam aptabatur, hanc sequutus est lectionem. In Hebræo autem legitur כי חסד חפצתי, *quia misericordiam volui.*

μεν εἰς ταῦτα τὰ θυσιαστήρια καθ' ἑκάστην ἡμέραν. Αὕτη γὰρ καὶ εὐχῆς καὶ νηστείας καὶ πολλῶν ἑτέρων ἐστὶ μείζων ἡ θυσία· μόνον ἂν ἐκ δικαίου κέρδους καὶ πόνων τοιούτων, καὶ πάσης ᾖ καθαρὰ πλεονεξίας καὶ ἁρπαγῆς καὶ βίας. Τοιαύτας γὰρ προσίεται προσφορὰς [a] ὁ Θεὸς, τὰς δὲ ἑτέρας καὶ ἀποστρέφεται καὶ μισεῖ. Οὐδὲ γὰρ βούλεται ἐξ ἀλλοτρίων τιμᾶσθαι συμφορῶν. Ἀκάθαρτος γὰρ καὶ βέβηλος ἡ τοιαύτη θυσία, καὶ παροξύνειεν ἂν μᾶλλον, ἢ [b] ἐξιλεώσαιε τὸν Θεόν. Διὸ πάσῃ δεῖ κεχρῆσθαι σπουδῇ, ὥστε μὴ ἐν τάξει θεραπείας τὸν τιμώμενον ἐξυβρίζειν. Εἰ γὰρ τὰ C δευτερεῖα προσενεγκὼν ὁ Κάϊν, καὶ ταῦτα οὐδὲ ἠδικηκὼς ἕτερον, ἔδωκε δίκην τὴν ἐσχάτην· ὅταν καὶ ἐξ ἁρπαγῆς καὶ πλεονεξίας προσφέρωμέν τι, πῶς οὐ πεισόμεθα χαλεπώτερα; Διὰ γὰρ τοῦτο καὶ τὸ εἶδος τῆς ἐντολῆς ταύτης ὑπέδειξεν ἡμῖν ὁ Θεὸς, ἵνα ἐλεῶμεν, οὐχ ἵνα κολάζωμεν τοὺς ὁμοδούλους. Ὁ δὲ τὰ ἑτέρων λαμβάνων, καὶ ἑτέρῳ διδοὺς, οὐχ ἠλέησεν, ἀλλ' ἐτιμωρήσατο, καὶ ἠδίκησεν ἀδικίαν τὴν ἐσχάτην. Ὥσπερ οὖν ἔλαιον οὐκ ἂν τέκοι λίθος, οὕτως οὐδὲ ἀπήνεια φιλανθρωπίαν. Ὅταν γὰρ τοιαύτην ἔχῃ ῥίζαν, D οὐκ ἔτι ἐλεημοσύνη τὸ τοιοῦτόν ἐστι. Διὸ παρακαλῶ μὴ πρὸς τοῦτο ὁρᾷν μόνον, ὅπως παρέχωμεν τοῖς δεομένοις, ἀλλὰ καὶ ὅπως μὴ ἐκ τῆς τῶν ἑτέρων ἁρπαγῆς. Εἷς γὰρ εὐχόμενος, καὶ εἷς καταρώμενος, τίνος φωνῆς ἀκούσεται ὁ Δεσπότης; Ἂν οὕτως ἑαυτοὺς μετὰ ἀκριβείας ἄγωμεν, δυνησόμεθα τῇ τοῦ Θεοῦ χάριτι πολλῆς φιλανθρωπίας καὶ ἐλέους καὶ συγγνώμης τυχεῖν ἐφ' οἷς ἡμάρτομεν πάντα τὸν μακρὸν τοῦτον χρόνον, καὶ τὸν τοῦ πυρὸς ποταμὸν ἐκφυγεῖν· οὗ γένοιτο πάντας ἡμᾶς ἀπαλλαγέντας [c] εἰς τὴν τῶν οὐρανῶν ἀνελθεῖν βασιλείαν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ E Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

dilecti, sacrificemus quotidie in hisce aris. Hoc quippe sacrificium, et precibus et jejunio et multis aliis præstantius est; dum ex justo lucro, ex justis laboribus procedat, et omnis sit expers avaritiæ, rapinæ, violentiæ. Tales enim oblationes admittit Deus; cæteras autem aversatur et odit. Neque enim vult ex aliorum calamitatibus honorari. Impurum namque profanumque est hujusmodi sacrificium, Deumque potius irritaverit, quam placaverit. Quapropter omni studio enitendum est, ne cultus nomine, quem honorare volumus, probro afficiamus. Si enim Caïn, qui ea quæ inferioris conditionis erant obtulit, nec quempiam læserat, extremas dedit pœnas; cum quid ex rapina et avaritia obtulerimus, annon graviora patiemur? Ideo namque Deus hujus præcepti rationem, nobis declaravit, ut misereamus, non ut conservos torqueamus; qui autem aliena rapit et alteri dat, is non misericordiam exercuit, sed læsit, et extremam operatus iniquitatem est. Ut ergo lapis numquam oleum pariat, sic nec crudelitas humanitatem. Cum enim talis sit radix, numquam id eleemosyna fuerit. Quamobrem obsecro ne eo solum spectemus ut eleemosynam erogemus, sed etiam ut ne ex rapina largiamur. Nam esto *Unus qui precetur, alter qui imprecetur; utrius vocem audiet Dominus?* Si nos sic diligenter instituamus, per Dei gratiam poterimus multam benignitatem, misericordiam et veniam omnium, quæ hoc diuturno tempore admisimus, peccatorum consequi, ac fluvium igneum effugere; a quo erepti, utinam nos omnes ad regnum cælorum ascendamus, gratia et misericordia Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, simul et sancto Spiritui, in sæcula sæculorum. Amen.

Dona ex rapina improbantur.

Eccli. 34. 29.

[a] Morel. μόνον ὁ Θεός. [Supra Savil. et Codd. cit. δικαίου γίνηται κέρδους.]
[b] Savil. ἐξιλεώσαιε. Morel. ἐξιλεώσαιτο.

[c] Sic Savil. et Mss. et ita legit Interpres; Morel. εἰς τὸν τῶν οὐρανῶν ἀνακλιθῆναι νυμφῶνα.

---

78 A

ΟΜΙΛΙΑ ιδʹ.

HOMILIA XIV.

Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος.

16. *Et de plenitudine ejus nos omnes accepimus, et gratiam pro gratia.*

Πρῴην ἐλέγομεν ὅτι Ἰωάννης τὴν ἀπορίαν λύων τῶν μελλόντων πρὸς ἑαυτοὺς ζητεῖν, πόθεν ὁ Χριστὸς ὕστερον ἐπὶ τὸ κήρυγμα ἐλθὼν, πρῶτος αὐτοῦ γέγονε

1. Nuper dicebamus, Joannem, ut dubitationem eorum solveret, qui apud se quæsituri erant, cur Christus qui posterior ad prædicandum venit,

prior et splendidior illo fuerit, hoc addidisse, *Quia prior me erat.* Et hæc una causa est: sed subdit aliam de qua nunc agitur. Quænam illa est? *De plenitudine*, inquit, *ejus nos omnes* B *accepimus et gratiam pro gratia*; et post hæc iterum aliam. Quam illam? *Quia lex per Moysem data est, gratia et veritas per Jesum Christum facta est.* Et quid est, inquies, illud, *Ex plenitudine ejus nos omnes accepimus*? Nam eo interim sermo referendus est. Non habet, inquit, doni erogandi consortem, sed ipse fons, ipse radix est bonorum omnium, ipsa vita, ipsa lux, ipsa veritas, qui bonorum divitias non in se retinet, sed in alios omnes effundit; et postquam effudit, plenus remanet, nihil minus habens postquam aliis elargitus est, sed semper scaturiens, et aliis bona impertiens, in eadem manet perfectione. Quod C autem ego fero particeps boni, ab alio accepi, et exigua pars totius est, et quasi stilla abysso ineffabili et pelago immenso comparata: imo ne hoc quidem exemplum potest satis explicare id quod recensere conamur. Etenim si stillam ex pelago haurias, eo ipso pelagus minuisti, etiamsi imminutio illa visu non percipiatur. De fonte autem isto id dici nequit; sed quantumcumque hauseris, manet tamen nihil imminutus. Quare alio exemplo utendum: quod tamen infirmum est, nec potest rem quæsitam demonstrare; sed magis quam primum D ad propositam nos adducit sententiam. Supponamus esse igneum fontem: ex quo fonte mille, bis mille, ter mille, et longe plures lucernæ accenduntur: annon æque plenus ignis manet, postquam tot aliis vim suam indidit? Id nemini non notum est. Quod si in corporibus divisibilibus, quæ per ademtionem minuuntur, quidpiam simile reperitur, quod postquam aliis quæ sua erant indidit, nihil tamen minuitur, multo magis in incorporea et immortali illa potentia hoc continget. Nam si cum id quod participatur est substantia et cor- E pus, et dividitur, et non dividitur: multo magis cum de vi agendi sermo est, deque vi agendi incorporeæ substantiæ, exploratum est id evenire. Ideo Joannes dicebat, *De plenitudine ejus nos omnes accepimus*; et testimonium suum Baptistæ testimonio connectit. Nam illud, *De plenitudine ejus nos omnes accepimus*, non præcurso-

καὶ λαμπρότερος, ἐπήγαγε τὸ, Ὅτι πρῶτός μου ἦν. Καὶ μία μὲν αὕτη αἰτία· τίθησι δὲ καὶ [a] δευτέραν πάλιν ἣν νῦν φησι. Τίς δέ ἐστιν αὕτη, Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς, φησὶ, πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. Καὶ μετὰ τούτων λέγει πάλιν καὶ ἄλλην. Ποίαν δὲ ταύτην; Ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Καὶ τί ποτέ ἐστι, φησὶ, τὸ, Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν; Ἐπὶ γὰρ τοῦτο τέως ἀκτέον τὸν λόγον. Οὐ μεθεκτὴν, φησὶν, ἔχει τὴν δωρεὰν, ἀλλ' αὐτοπηγὴ καὶ αὐτορίζα ἐστὶ πάντων τῶν καλῶν, αὐτοζωὴ, καὶ αὐτοφῶς, καὶ αὐτοαλήθεια· οὐκ ἐν ἑαυτῷ συνέχων τῶν ἀγαθῶν τὸν πλοῦτον, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑπερβλύζων αὐτὸν, καὶ μετὰ τὸ ὑπερβλύσαι μένων πλήρης· * ἐν οὐδενὶ γὰρ ἐλαττούμενος ἐκ τῆς εἰς ἑτέρους χορηγίας, ἀλλ' ἀεὶ πηγάζων καὶ πᾶσι τούτων μεταδιδοὺς τῶν καλῶν, ἐπὶ τῆς αὐτῆς μένει τελειότητος. Ὃ δὲ ἐγὼ φέρω, μεθεκτόν τέ ἐστι (παρ' ἑτέρου γὰρ ἔλαβον αὐτὸ), καὶ μικρόν τι τοῦ παντὸς, καὶ οἱονεὶ [b] σταγὼν εὐτελὴς πρὸς ἄβυσσον ἄφατον καὶ πέλαγος ἄπειρον· μᾶλλον δὲ οὐδὲ τοῦτο τὸ παράδειγμα παραστῆσαι δύναται ὅπερ ἐπιχειροῦμεν εἰπεῖν. Σταγόνα μὲν γὰρ ἀπὸ πελάγους ἂν ἐξέλῃς, αὐτῷ τούτῳ τὸ πέλαγος ἠλάττωσας, εἰ καὶ ἀφανὴς ἡ ἐλάττωσις. Ἐπὶ δὲ τῆς πηγῆς ἐκείνης οὐκ ἔστι τοῦτο εἰπεῖν· ἀλλ' ὅσον ἄν τις ἀρύσηται, μένει μηδὲν ἐλαττουμένη. Διὸ χρὴ * μάλιστα ἐφ' ἕτερον ὑπόδειγμα ἐλθεῖν· ἀσθενὲς [c] μὲν γὰρ αὐτὸ καὶ οὐ δυνάμενον ὅπερ ζητοῦμεν παραστῆσαι, μᾶλλον δὲ τοῦ προτέρου χειραγωγοῦν ἡμᾶς πρὸς τὴν ἔννοιαν τὴν προκειμένην ἡμῖν νῦν. Ὑποθώμεθα γὰρ εἶναι πυρὸς πηγὴν, εἶτα ἀπὸ τῆς πηγῆς ἐκείνης μυρίους ἀνάπτεσθαι λύχνους, καὶ δὶς τοσούτους, καὶ τρὶς καὶ πολλάκις· ἆρα οὐκ ἐπὶ τῆς αὐτῆς μένει πληρότητος τὸ πῦρ καὶ μετὰ τὸ μεταδοῦναι τοσούτοις τῆς ἐνεργείας τῆς αὐτοῦ; Παντί που δῆλόν ἐστιν. Εἰ δὲ ἐπὶ τῶν σωμάτων, τῶν μεριστῶν, τῶν ἐλαττουμένων ὑπὸ τῆς ἀφαιρέσεως, εὑρέθη τι τοιοῦτον ὃ καὶ μετὰ τὸ παρασχεῖν ἑτέροις τὰ παρ' ἑαυτοῦ οὐδὲν παραβλάπτεται, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀσωμάτου καὶ ἀκηράτου δυνάμεως ἐκείνης τοῦτο συμβήσεται. Εἰ γὰρ ἔνθα οὐσία ἐστὶ τὸ μεταλαμβανόμενον καὶ σῶμα, καὶ μερίζεται, καὶ οὐ μερίζεται, πολλῷ μᾶλλον ὅταν περὶ ἐνεργείας ὁ λόγος ᾖ, καὶ ἐνεργείας τῆς ἐξ ἀσωμάτου οὐσίας, οὐδὲν εἰκὸς τοιοῦτον παθεῖν. Διὰ τοῦτο καὶ Ἰωάννης ἔλεγεν, Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν· καὶ

[a] Savil. et Mss. plurimi οὐκ ἀρκεσθεὶς δὲ ἐκείνῃ, τίθησι δευτέραν πάλιν, ἣν νῦν φησι. τίς δέ ἐστιν. Morel. τ. δ. κ. δευτέραν, οὐκ ἀρκεσθεὶς ἐκείνῃ.

* [καὶ οὐδενὶ ἐλ. Savil. et Cod. 706.]

[b] Mss. plurimi et Savil. σταγὼν εὐτελής. Morel. et alii σταγὼν ὀλίγη. [Mox Savil. et Codd. 705, 706 δύναιτ' ἄν. Infra iidem αὐτὸ τοῦτο τὸ π.]

* [μὲν καὶ αὐτό Savil. et Codd. cit., recte.]

[*]συνείρει τὴν αὐτοῦ μαρτυρίαν τῇ τοῦ βαπτιστοῦ. Τὸ γὰρ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, οὐ τοῦ προδρόμου ἐστὶ ῥῆμα, ἀλλὰ τοῦ μαθητοῦ. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μὴ νομίσητε, φησὶν, ὅτι ἡμεῖς οἱ συγγενόμενοι πολὺν αὐτῷ χρόνον, καὶ ἁλῶν, καὶ τραπέζης κοινωνήσαντες, χάριτι μαρτυροῦμεν. Καὶ γὰρ καὶ Ἰωάννης, ὁ μηδὲ εἰδὼς αὐτὸν πρὸ τούτου, ὁ μηδὲ συγγενόμενος, ἀλλὰ τοσοῦτον μόνον ὅτε ἐβάπτιζε, μετὰ τῶν ἄλλων αὐτὸν θεασάμενος, ἐβόα· Πρῶτός μου ἦν, [a]ἐκεῖθεν πάντα λαβών· καὶ ἡμεῖς δὲ πάντες οἱ δώδεκα, οἱ τριακόσιοι, οἱ πεντακόσιοι, οἱ τρισχίλιοι, οἱ πεντακισχίλιοι, αἱ πολλαὶ τῶν Ἰουδαίων μυριάδες, ἅπαν τὸ πλήρωμα τῶν πιστῶν, καὶ τῶν τότε, καὶ τῶν νῦν, καὶ τῶν αὖθις ἐσομένων, ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν. Τί δὲ ἐλάβομεν; Χάριν ἀντὶ χάριτος, φησίν. Ἀντὶ ποίας ποίαν; Ἀντὶ τῆς παλαιᾶς τὴν καινήν. Ὥσπερ γὰρ ἦν δικαιοσύνη, καὶ δικαιοσύνη· Κατὰ δικαιοσύνην γὰρ, φησὶ, τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος· καὶ πίστις, καὶ πίστις· Ἐκ πίστεως γὰρ εἰς πίστιν· καὶ υἱοθεσία, καὶ υἱοθεσία· Ὧν ἡ υἱοθεσία, φησί· καὶ δόξα, καὶ δόξα· Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ· καὶ νόμος, καὶ νόμος· Ὁ νόμος γὰρ, φησὶ, τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με· καὶ λατρεία, καὶ λατρεία· Ὧν ἡ λατρεία, φησί· καὶ πάλιν, [b]Πνεύματι Θεῷ λατρεύοντες· καὶ διαθήκη, καὶ διαθήκη· Διαθήσομαι γὰρ ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν· καὶ ἁγιασμὸς, καὶ ἁγιασμός· καὶ βάπτισμα, καὶ βάπτισμα· καὶ θυσία, καὶ θυσία, καὶ ναὸς, καὶ ναὸς, καὶ περιτομὴ, καὶ περιτομή· οὕτω καὶ χάρις, καὶ χάρις. Ἀλλ' ἐκεῖνα μὲν ὡς τύποι, ταῦτα δὲ ὡς ἀλήθεια, ὁμωνυμίαν τινὰ, ἀλλ' οὐχὶ συνωνυμίαν φυλάττοντα· ἐπεὶ καὶ ἐν τοῖς τύποις καὶ ἐν ταῖς εἰκόσι, καὶ [c]ὁ ἐπὶ τῶν χρωμάτων τῶν λευκῶν διὰ τοῦ μέλανος χρώματος ἐγχαραττόμενος, ἄνθρωπος λέγεται, καὶ ὁ δεξάμενος τὴν τῶν χρωμάτων ἀλήθειαν· καὶ ἐπὶ τῶν ἀνδριάντων, ὅ τε χρυσοῦς, ὅ τε πήλινος, ἀνδριὰς προσηγόρευται· ἀλλὰ τὸ μὲν ὡς τύπος, τὸ δὲ ὡς ἀλήθεια.

Μὴ τοίνυν ὡς ἀπὸ τῆς τῶν ὀνομάτων κοινωνίας, ταυτότητα πραγμάτων νομίσῃς, ἀλλὰ μηδὲ ἀλλοτρίωσιν. Εἰ μὲν γὰρ τύπος ἦν, οὐκ ἦν ἀλλότρια τῆς ἀληθείας· εἰ δὲ σκιὰν ἐφύλαττεν, ἐλάττω τῆς ἀληθείας ἦν. Τί οὖν τὸ μέσον τούτων ἁπάντων; Βούλεσθε ἐπεξέλθωμεν ἓν ἢ δύο τῶν εἰρημένων προ-

79 A ris, sed discipuli dictum est. Hoc autem vult significare: Ne putetis, nos qui multo tempore cum illo versati sumus, et ejusdem mensæ consortes fuimus, ex gratia aliqua testimonium ferre. Nam Joannes, qui illum antea non viderat, nec cum illo versatus fuerat, sed cum baptizaret tantum, ipso cum cæteris conspecto, inde omnia accipiens, exclamavit, *Prior me erat*. Nos autem omnes, *De plenitudine Christi quid accipimus.* duodecim, trecenti, quingenti, ter mille, quinquies mille, multæ Judæorum myriades, omnis plenitudo fidelium, qui tunc fuere, qui nunc, qui futuri sunt, de plenitudine ejus accepimus. Quid B autem accepimus? Gratiam pro gratia. Quam pro qua? Pro veteri novam. Sicut enim erat justitia et justitia, *Secundum justitiam*, inquit, *quæ in lege est*, *factus irreprehensibilis*; item fides et *Philipp. 3. 6.* fides est: *Ex fide in fidem*; adoptio quoque et ado- *Rom. 1. 17.* ptio: *Quorum adoptio*, inquit; gloria quoque du- *Ibid. 9. 4.* plex: *Si enim quod evacuatur per gloriam est*, *2. Cor. 3. 11.* *multo magis quod manet in gloria*; et lex duplex: nam ait, *Lex spiritus vitæ liberavit me*; et *Rom. 8. 2.* cultus duplex, *Quorum servitus*, seu cultus; et rursum, *Spiritu Deo servientes*; duplex quoque *Philip. 3. 3.* testamentum: *Disponam vobis testamentum* *Jer. 31. 31.* C *novum, non secundum testamentum quod disposui cum patribus vestris*; duplex quoque sanctificatio, duplex baptisma, duplex sacrificium, duplex templum, duplex circumcisio; sic et duplex gratia. Sed illa quidem ceu figura sunt; hæc ut veritas: quæ homonyma quidem, sed non synonyma sunt. Nam in typis et imaginibus qui colore albo et nigro pingitur, homo vocatur, ut et verus homo nativo colore instructus: in statuis quoque aurea perinde atque figlina, statua dicitur; sed illa typus sunt, hæc veritas. D

2. Ne igitur ex nominum consortio, res easdem, sed neque diversas esse putes. Nam si typus erat, non erat alienus a veritate; si umbram servabat, minor erat veritate. Quid ergo discriminis est inter hæc omnia? Vultis unum aut duo ex dictis tractemus? Sic cætera vobis manifesta

[*] συνείρει. In Editis συναίρει. Sed suspicatus est Savilius legendum esse συνείρει, atque ita legitur in antiquissimo Codice manuscripto.

[a] Sic Savil. et Morel. vero ἐκεῖθεν καὶ οὗτος πάντως λαβών.

[b] Alii πνεύματι Θεοῦ.

[c] Morel. ὁ ἐπὶ τῶν χρωμάτων τῶν λευκῶν. Savil. ὁ διὰ τῶν γραμμάτων τῶν λευκῶν ἐπὶ τοῦ μ., et sic Mss. plurimi; unus tamen habet πραγμάτων τῶν λευκῶν.

erunt : videbimusque illa puerorum præcepta,
hæc virorum fortium fuisse; illa quasi hominibus,
Inter vetera et nova discrimen. hæc quasi angelis constituta. Unde igitur ordiemur?
Vultis ab ipsa adoptione ordiamur? Quid
discriminis inter hanc et illam est? Illa nomine
Psal. 81. 6. tenus erat; hæc re ipsa. De illa dicitur, *Ego dixi,
Dii estis, et filii Altissimi omnes*. De hac autem,
Ex Deo nati sunt. Quomodo et qua ratione?
Per lavacrum regenerationis et renovationis
Spiritus sancti. Et illi quidem postquam
filii appellati sunt, spiritum servitutis adhuc
habebant : nam servi cum essent, hac appellatione
ornabantur; nos autem liberi tunc effecti,
non nomine, sed re honorem accepimus. Et
Rom. 8. 15. hoc Paulus dicebat : *Non enim accepistis spiritum
servitutis iterum in timore, sed accepistis
Spiritum adoptionis filiorum, in quo clamamus,
Abba Pater*. Generati namque superne,
et ut ita dicam, reformati, sic vocati sumus filii.
Sanctitatis vero modum si quis didicerit, quis
hic, quis ille, multam hic quoque differentiam videbit.
Illi namque quando idola non colebant,
cum nec fornicabantur, nec mœchabantur, hoc
vocabantur nomine : nos autem non abstinendo
ab illis rebus tantum, sed et majora possidendo
sancti efficimur. Et primo quidem ex ipso Spiritus
illapsu hoc consequimur donum : deinde ex
vita longe præstantiore quam Judaïca. Et ne ex
Deut. 18. 10. jactantia dicta putes, audi quid illis dicat : *Nolite
lustrare, neque purificare filios vestros, quia
populus sanctus estis*. Itaque apud illos hæc
sanctitas erat, ab idolorum legibus abstinere;
1. Cor. 7. 34. apud nos vero non ita, sed, *Ut sit sancta*, inquit,
*corpore et spiritu. Pacem persequimini et sanctificationem,
Hebr. 12. 14. sine qua nemo videbit Dominum*;
2. Cor. 7. 1. et, *Perficientes sanctificationem in timore
Dei*. Non enim hoc nomen, sanctus, in omnibus,
de quibus dicitur, eamdem habet significationem.
Nam Deus sanctus dicitur, sed non sicut
nos. Cum enim propheta hanc vocem a Seraphinis
Isai. 6. 5. audivit, attende quid dixerit : *Hei mihi,
miser ego, quia homo cum sim, impura labia
habeo, et in medio populi impura labia habentis
ego habito*. Etsi ille et sanctus et purus esset.
Verum si nostram cum superna illa sanctitatem
comparemus, impuri sumus. Sancti sunt angeli,
sancti sunt archangeli, et Cherubim at-

χειρισάμενοι; Οὕτω γὰρ καὶ τὰ ἄλλα ἔσται ὑμῖν
δῆλα· καὶ ὀψόμεθα πάντες ὡς ἐκεῖνα μὲν παίδων ἦν
διδάγματα, ταῦτα δὲ γενναίων καὶ μεγάλων ἀνδρῶν·
καὶ τὰ μὲν ὡς ἀνθρώποις, τὰ δὲ ὡς ἀγγέλοις νενο-
E μοθέτητο. Πόθεν [d] οὖν ποιησόμεθα τὴν ἀρχήν; Βού-
λεσθε ἀπὸ τῆς υἱοθεσίας αὐτῆς; Τί δὴ οὖν τὸ μέσον
ταύτης κἀκείνης; Ἐκείνη, ῥήματος ἦν τιμή· ἐνταῦθα
δὲ καὶ τὸ πρᾶγμα ἕπεται. Καὶ περὶ μὲν ἐκείνης
φησίν· Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάν-
80 τες· περὶ δὲ ταύτης, ὅτι ἐκ Θεοῦ ἐγεννήθησαν. Πῶς
A καὶ τίνι τρόπῳ; Διὰ λουτροῦ παλιγγενεσίας, καὶ
ἀνακαινώσεως Πνεύματος ἁγίου. Κἀκεῖνοι μὲν μετὰ
τὴν τῶν υἱῶν προσηγορίαν, ἔτι πνεῦμα δουλείας εἶχον·
δοῦλοι γὰρ μένοντες, οὕτως ἐτιμῶντο τῇ κλήσει ταύ-
τῃ· ἡμεῖς δὲ ἐλεύθεροι γενόμενοι, τότε οὐκ ὀνόματι,
ἀλλὰ πράγματι τὴν τιμὴν ἐδεξάμεθα. Καὶ τοῦτο
Παῦλος δηλῶν ἔλεγεν· Οὐ γὰρ ἐλάβετε πνεῦμα δου-
λείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθε-
σίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ πατήρ. Γεννηθέντες
γὰρ, ἄνωθεν, καὶ ὡς ἂν εἴποι τις ἀναστοιχειωθέντες,
οὕτως ἐκλήθημεν υἱοί. Καὶ τῆς ἁγιωσύνης τὸν τρόπον
εἴτις καταμάθοι, τίς μὲν οὗτος, τίς δὲ ἐκεῖνος πολλήν;
B ὄψεται πάλιν κἀνταῦθα τὴν διαφοράν. Ἐκεῖνοι μὲν
γὰρ ἡνίκα μὴ εἰδωλολάτρουν, μηδὲ ἐπόρνευον, μηδὲ
ἐμοίχευον, τοῦτο ἐκαλοῦντο τὸ ὄνομα· ἡμεῖς δὲ, οὐκ
ἐν τῇ τούτων [a] ἀποχῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῶν μει-
ζόνων κτήσει γινόμεθα ἅγιοι. Καὶ πρῶτον μὲν ἀπ'
αὐτῆς τοῦ Πνεύματος τῆς ἐπιφοιτήσεως, ταύτης
τυγχάνομεν τῆς δωρεᾶς· ἔπειτα δὲ καὶ ἐκ πολι-
τείας, πολλῷ μείζονος τῆς Ἰουδαϊκῆς. Καὶ ὅτι οὐ
κόμπος τὰ ῥήματα, ἄκουσον ἐκείνοις μὲν τί φησιν·
Οὐ φοιβάσεσθε, οὐ περικαθαριεῖτε τὰ τέκνα ὑμῶν,
ὅτι λαὸς ἅγιός ἐστε. Ὥστε παρ' ἐκείνοις τοῦτο ἡ
ἁγιωσύνη, τὸ τῶν εἰδωλικῶν ἀπηλλάχθαι νόμων·
C παρὰ δὲ ἡμῖν οὐχ οὕτως, ἀλλ', Ἵνα ᾖ ἁγία, φησὶ,
καὶ σώματι καὶ πνεύματι. Εἰρήνην διώκετε καὶ τὸν
ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον· καὶ,
Ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. Οὐ γὰρ ἀρ-
κεῖ τὸ, ἅγιος, ὄνομα, ἐπὶ πάντων ὧν ἂν λέγηται
τὴν αὐτὴν ἔννοιαν παραστῆσαι· ἐπεὶ καὶ ὁ Θεὸς
ἅγιος λέγεται, ἀλλ' οὐχ ὡς ἡμεῖς. Ὅτε γοῦν ἤκουσε
τὴν φωνὴν ταύτην παρὰ τῶν Σεραφὶμ [b] φερομένην ὁ
προφήτης, ὅρα τί φησιν· Οἴμοι τάλας ἐγὼ, ὅτι ἄν-
θρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ
ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ. Καίτοι καὶ ἅγιος
καὶ καθαρὸς ἦν· ἀλλὰ πρὸς τὴν ἁγιωσύνην ἡμεῖς
D τὴν ἄνω κρινόμενοι, ἀκάθαρτοί ἐσμεν. Ἅγιοι καὶ οἱ

[d] Alii et Savil. *πόθεν οὖν δεῖ ποιήσασθαι*. Utrovis modo legas idipsum est.

[a] Savil. et Mss. plurimi *ἀποχῇ, ἀλλ' ἐν τῇ*. Ut nos, ita Morel. et alii, etiam recte.

[b] Savil. et Mss. fere omnes *τῶν Σεραφὶμ φερομένην ὁ πρ.* [Alii *ᾀδομένην*.] Mox post *ἐγὼ* Morel. et Mss. pauci addunt *ὅτι κατανένυγμαι*, sed hæc desunt in Savil. et in Mss. plurimis.

ἄγγελοι, ἅγιοι οἱ ἀρχάγγελοι, καὶ αὐτὰ τὰ Σεραφὶμ, καὶ Χερουβίμ· ἀλλὰ καὶ ταύτης τῆς [c] ἁγιωσύνης ἑτέρα πάλιν διαφορὰ καὶ πρὸς ἡμᾶς καὶ πρὸς τὰς ὑπερεχούσας δυνάμεις. Ἐνῆν καὶ τοῖς ἄλλοις ἅπασιν ἐπεξελθεῖν, [d] ἀλλ' ὁρῶ τὸν λόγον εἰς μῆκος πολὺ ἐκτεινόμενον· διὸ περαιτέρω παυσάμενοι προελθεῖν, ὑμῖν ἀφήσομεν τὰ λειπόμενα μεταχειρίσαι. Ἔξεστι γὰρ καὶ ὑμῖν κατ' οἶκον ταῦτα συλλέγουσι συνιδεῖν τὴν διαφορὰν, καὶ τοῖς λοιποῖς ὁμοίως ἐπεξιέναι. Δίδου γὰρ, φησὶ, σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. Ἡ μὲν γὰρ ἀρχὴ παρ' ἡμῶν, τὸ δὲ τέλος ἔσται παρ' E ὑμῶν. Ἡμῖν δὲ ἀναγκαῖον πάλιν ἅψασθαι τῆς ἀκολουθίας. Εἰπὼν, Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, ἐπήγαγε, Καὶ χάριν ἀντὶ χάριτος· [e] δεικνὺς ὅτι χάριτι καὶ Ἰουδαῖοι ἐσώζοντο. Οὐ γὰρ διὰ τὸ πολυπληθεῖν ὑμᾶς, φησὶν, ἀλλὰ διὰ τοὺς πατέρας ὑμῶν ἐξελεξάμην. 81 A Εἰ τοίνυν οὐκ ἐξ οἰκείων κατορθωμάτων ἐξελέγησαν παρὰ Θεοῦ, δῆλον ὅτι χάριτι ταύτης ἔτυχον τῆς τιμῆς. Καὶ ἡμεῖς δὲ χάριτι πάντες ἐσώθημεν, ἀλλ' οὐχ ὁμοίως. Οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς, ἀλλ' ἐπὶ πολλῷ μείζοσι καὶ ὑψηλοτέροις. [a] Οὐ τοίνυν τοιαύτη παρ' ἡμῖν χάρις. Οὐδὲ γὰρ δὴ μόνον ἁμαρτημάτων συγχώρησις ἡμῖν ἐδόθη· ἐπεὶ κατὰ τοῦτο κοινωνοῦμεν ἐκείνοις· πάντες γὰρ ἥμαρτον· ἀλλὰ καὶ δικαιοσύνη, καὶ ἁγιασμὸς, καὶ υἱοθεσία, καὶ Πνεύματος χάρις [b] φαιδροτέρα πολλῷ καὶ δαψιλεστέρα. Διὰ ταύτης τῆς χάριτος ἐγενόμεθα τῷ Θεῷ ποθεινοὶ, οὐκ ἔτι μόνον ὡς δοῦλοι, ἀλλὰ καὶ ὡς υἱοὶ καὶ ὡς φίλοι. Διὰ τοῦτό φησι, Χάριν ἀντὶ χάριτος. Καὶ γὰρ B τὰ τοῦ νόμου καὶ αὐτὰ χάριτος ἦν, καὶ αὐτὸ τὸ [c] γενέσθαι ἡμᾶς ἐξ οὐκ ὄντων. Οὐ γὰρ κατορθωμάτων προϋπηργμένων ταύτην ἐλάβομεν τὴν ἀμοιβήν· πῶς γὰρ οἱ μηδὲ ὄντες; ἀλλὰ Θεοῦ [d] πανταχόθεν τῆς εὐεργεσίας κατάρχοντος. Οὐ τὸ γενέσθαι δὲ μόνον ἐξ οὐκ ὄντων, ἀλλὰ καὶ τὸ γενομένους εὐθέως μαθεῖν τά τε πρακτέα, καὶ τὰ μὴ πρακτέα, καὶ τοῦτον ἐν τῇ φύσει λαβεῖν τὸν νόμον, καὶ τὸ τοῦ συνειδότος κριτήριον ἀδέκαστον ἡμῖν παρακαταθέσθαι τὸν ποιήσαντα, χάριτος ἦν μεγίστης καὶ φιλανθρωπίας ἀφάτου. C Καὶ τὸ τὸν νόμον δὲ τοῦτον διαφθαρέντα ἀνακτήσασθαι διὰ τοῦ γραπτοῦ, χάριτος ἦν. Τὸ μὲν γὰρ ἑπόμενον ἦν, τοὺς τὴν ἅπαξ δοθεῖσαν ἐντολὴν παραχαράττοντας, κολάζεσθαι καὶ τιμωρεῖσθαι· τὸ δὲ γενόμενον οὐ τοῦτο ἦν, ἀλλὰ πάλιν διόρθωσις, καὶ συγγνώμη οὐκ ὀφειλομένη, ἀλλ' ἀπὸ ἐλέου καὶ χάριτος διδομένη. Ὅτι γὰρ χά-

que Seraphim; sed hujus sanctitatis alia rursum differentia est inter nos videlicet et superiores illas potestates. Possem cætera omnia persequi, sed video orationem longius progressam; quapropter ulteriore missa perquisitione, vobis cætera exploranda relinquemus. Vobis enim licet domi hæc colligendo, differentiam internoscere, et reliqua similiter indagare. *Da sapienti,* Prov. 9. 9. *inquit, occasionem, et sapientior erit.* Initium namque a nobis est, finis erit a vobis. Operæ pretium autem est seriem persequi. Cum dixisset, *De plenitudine autem ejus nos omnes accepimus,* subdidit, *Et gratiam pro gratia:* ostendens Judæos quoque per gratiam salvos fuisse. Non enim quod multiplicati sitis, sed propter patres vestros elegi vos. Si ergo non ex propriis meritis a Deo electi sunt, palam eos per gratiam hunc esse consequutos honorem. Et nos quoque gratia salvi facti sumus: sed non simili modo. Neque enim iisdem in rebus, sed in multo majoribus et sublimioribus. Non itaque talis est apud nos gratia. Neque enim peccatorum tantum venia nobis collata est; hujus namque cum illis consortes sumus: omnes enim peccaverunt; sed datur etiam justitia, sanctificatio, adoptio, Spiritus gratia longe splendidior et uberior. Per hanc gratiam Deo cari facti sumus, non ultra ut servi tantum, sed etiam ut filii et amici. Ideo inquit, *Gratiam pro gratia.* Etenim legalia quoque ex gratia erant, necnon quod ex nihilo facti simus: non enim ex præcedentibus meritis hanc remunerationem accepimus: quomodo enim, cum non essemus? sed Deus semper beneficiis nos prævenit. Non modo cum nos ex nihilo produxit, sed etiam cum creatis dat ut quæ agenda, quæ non agenda sunt sciamus; et hanc in natura legem nanciscamur: et quod nobis conscientiæ tribunal incorruptum indiderit, id gratiæ maximæ et ineffabilis benignitatis fuit. Quod item hanc legem jam corruptam, per scriptam legem restauraverit, id gratiæ erat. Nam consentaneum erat, ut qui semel datam legem adulterassent, supplicio et ultioni traderentur. Non hoc autem factum est; sed concessa est emendatio, et venia non debita, sed per misericordiam et gratiam data. Quod enim id ex

Gratiam pro gratia quid significet.

[c] Sic Savil. Morel. vero ἁγιωσύνης μείζων ἡ τοῦ θεοῦ καὶ διαφέρουσα, ὥσπερ καὶ πρὸς ἡμᾶς, οὕτω καὶ πρὸς τὰς ὑπὲρ ἡμᾶς δυνάμεις.

[d] [Savil. et Codd. cit. ἀλλὰ μακρὸς ὁ λόγος γίνεται καὶ πολὺ τὸ μῆκος. Mox pro προελθεῖν Cod. 706 προελθόντες.]

[e] [χάριτι γὰρ καὶ ἰουδ. Sav. et Codd. cit.]

[a] Alii οὐ γὰρ τοῦτο παρ'. [Mox Savil. cum Codd 705 et 706 οὐ γὰρ δή.]

[b] Morel. σφοδροτέρα. Savil. [et Codd. cit.] φαιδροτέρα.

[c] Savil. [et Codd. cit.] γενέσθαι ἄνθρωπον.

[d] Savil. πανταχόθεν. Morel. πανταχοῦ.

gratia et misericordia prodierit, audi Davidem
Psal. 102. 6. et 7. dicentem : *Faciens misericordias Dominus, et judicium omnibus injuriam patientibus. Notas fecit vias suas Moysi, filiis Israël voluntates*
Ibid. 24. 8. *suas*. Et iterum : *Dulcis et rectus Dominus; propter hoc legem dabit delinquentibus in via.*

3. Misericordiæ igitur et miserationum et gratiæ opus illud est, legem accipere. Ideo cum dixisset, *Gratiam pro gratia*, vehementius magnitudini donorum insistens subjungit: 17. *Lex per Moysem data est, gratia et veritas per Jesum Christum facta est.* Videte quam placide ac paulatim uno verbo et Joannes Baptista et discipulus ad supremam auditores cognitionem evehant, postquam eos in humilioribus exercitarunt? Ille namque postquam secum contulerat eum, qui sine comparatione omnes excedit, sic ejus postea excellentiam ostendit dicens : *Qui ante me factus est;* deinde subdens illud, *Prior me erat :* hic vero multo majus præstitit, minus tamen quam Unigeniti dignitas postularet. Non enim Joanni, sed ei, qui majori quam Joannes apud Judæos erat admirationi, Moysi nempe, ipsum comparat dicens, *Lex per Moysem data est, gratia et veritas per Jesum Christum facta est.* Et vide prudentiam. Non personarum, sed rerum disquisitionem facit. Nam cum res ipsæ longe majores demonstrarentur, necessario ingrati illi sententiam et opinionem de Christo excipere debebant. Cum enim opera ipsa, quæ nullam habeant vel gratiæ vel odii suspicionem, testificantur, certum etiam impudentibus præbent indicium. Nam qualia illa auctores ediderunt, talia manent et conspicua sunt: quamobrem omni suspicione et exceptione majus est illorum testimonium. Animadverte autem quam modestam faciat comparationem etiam apud infirmiores. Non enim excellentiam illam verbis extollit, sed nudis nominibus differentiam ostendit, dum gratiam et veritatem, legi, et hanc vocem, *Facta est*, huic, *Data est*, opponit. Multum autem est inter utramque discrimen. Nam illud, *Data est*, ministri erat, qui ab alio acceptum dedit quibus jussus erat; illud vero, *Facta est*, gratia et veritas, Regis est qui cum potestate peccata omnia dimittit, et donum præparat suum.
Marc. 2. 9. Quamobrem dicebat, *Dimittuntur tibi peccata;*
Ibid. v. 10. et 11. et rursum, *Ut autem sciatis quia potestatem habet Filius hominis in terra dimittendi peccata, ait paralytico : Surgens tolle lectum*

ριτος ἦν καὶ ἐλέου, ἄκουσον τί φησι ὁ Δαυίδ· Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Καὶ πάλιν· Χρηστὸς καὶ εὐθὴς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἐν ὁδῷ ἁμαρτάνοντας.

D Ἐλεημοσύνης οὖν ἄρα καὶ οἰκτιρμῶν καὶ χάριτος τὸ τὸν νόμον λαβεῖν. Διὰ τοῦτο εἰπὼν, Χάριν ἀντὶ χάριτος, ἔτι* θερμότερον ἐπαγωνιζόμενος τῷ μεγέθει τῶν δεδομένων, ἐπάγει λέγων· Ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Εἴδετε πῶς ἠρέμα καὶ κατὰ μικρὸν ἑνὶ ῥήματι, ὅ τε βαπτιστὴς Ἰωάννης, ὅ τε μαθητὴς πρὸς τὴν ὑψηλοτάτην τοὺς ἀκροατὰς ἐνάγουσι γνῶσιν, πρότερον τοῖς ταπεινοτέροις ἐγγυμνάσαντες; Ἐκεῖνος μὲν γὰρ πρὸς ἑαυτὸν συγκρίνας τὸν ᵃἀσυγκρίτως ἁπάντων ὑπερέχοντα, οὕτως αὐτοῦ μετὰ ταῦτα δείκνυσι τὴν
E ὑπεροχὴν λέγων, Ὃς ἔμπροσθέν μου γέγονεν· εἶτα ἐπάγων τὸ, Πρῶτός μου ἦν· οὗτος δὲ ἐκείνου μὲν πολλῷ μεῖζον ἐποίησε, τῆς δὲ ἀξίας τῆς τοῦ Μονογενοῦς ἔλαττον. Οὐ γὰρ πρὸς Ἰωάννην, ἀλλὰ πρὸς τὸν ἐκείνου μᾶλλον θαυμαζόμενον παρὰ Ἰουδαίοις ποιεῖται τὴν
82 σύγκρισιν, τὸν Μωϋσέα λέγω· Ὁ νόμος γὰρ, φησὶ,
A διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Καὶ θέα τὴν σύνεσιν. Οὐ τοῦ προσώπου ποιεῖται τὴν ἐξέτασιν, ἀλλὰ τῶν πραγμάτων. Τούτων γὰρ ἀποδειχθέντων πολλῷ ** μειζόνων, ἐξ ἀνάγκης καὶ τοὺς ἀγνώμονας εἰκὸς ἦν παραδέξασθαι τὴν ψῆφον καὶ τὴν ὑπόνοιαν περὶ τοῦ Χριστοῦ. Ὅταν γὰρ τὰ πράγματα μαρτυρῇ, τὰ μηδεμίαν ᵃἔχοντα ὑποψίαν ὡς πρὸς χάριν τινὸς, ἢ καὶ πρὸς ἀπέχθειαν τοῦτο ποιοῦντα, ἀναμφισβήτητον καὶ τοῖς ἀγνώμοσι τὴν ψῆφον παρίστησιν. Οἷα γὰρ ἂν αὐτὰ διαθῶσιν οἱ ποιήσαντες, τοιαῦτα μένει φαινόμενα· διὸ μάλιστα πάντων ἀνύποπτος ἡ παρὰ τούτων ἐστὶ μαρτυρία.
B Ὅρα δὲ καὶ πῶς ἀνεπαχθῆ ποιεῖται τὴν παράθεσιν καὶ παρὰ τοῖς ἀσθενεστέροις. Οὐ γὰρ κατασκευάζει τῷ λόγῳ τὴν ὑπεροχὴν, ἀλλ' ἀπὸ τῶν ὀνομάτων γυμνῶν τὴν διαφορὰν παραδείκνυσι, χάριν καὶ ἀλήθειαν ἀντιθεὶς νόμῳ, καὶ τὸ, Ἐγένετο, τῷ, Ἐδόθη. Πολὺ δὲ τὸ μέσον ἑκατέρων. Τὸ μὲν γὰρ διακονουμένου ἦν τὸ, Ἐδόθη, λαβόντος παρ' ἑτέρου καὶ δόντος οἷς προσετάγη δοῦναι· τὸ δὲ, Ἐγένετο, ἡ χάρις καὶ ἡ ἀλήθεια, βασιλέως μετὰ ἐξουσίας πάντα ἀφιέντος τὰ ἁμαρτήματα, καὶ αὐτοῦ κατασκευάζοντος τὴν δωρεάν. Διὸ ἔλεγεν· Ἀφέωνταί σου αἱ ἁμαρτίαι· καὶ πάλιν· Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας, λέγει τῷ
C παραλυτικῷ· ἐγερθεὶς ἆρον τὴν κλίνην σου, καὶ

* [σαφέστερον Codd. cit. et v. l. ap. Savil.]

ᵃ Alii ἀσύγκριτον.

** [Μείζονα Savil. et Cod. 705.]

ᵃ Quidam ἔχοντα αἰτίαν, ὡς.

ἰς τὸν οἶκόν σου. [b] Ὁρᾷς πῶς ἡ χάρις γίνεται
ῦ; Σκόπει δὲ καὶ τὴν ἀλήθειαν. Τὴν μὲν οὖν
αὶ ταῦτα καὶ τὰ κατὰ τὸν λῃστὴν, καὶ ἡ τοῦ
ατος δωρεὰ, [c] καὶ ἡ τοῦ Πνεύματος χαρὶς ἡ
ῦ διδομένη δείκνυσι, καὶ ἕτερα πολλά· τὴν
ιαν σαφεστέραν εἰσόμεθα, ἂν τοὺς τύπους
ωμεν. Τὰς γὰρ [d] μελλούσας ἐπιτελεῖσθαι ἐν
ῇ οἰκονομίας προλαβόντες προδιέγραψαν οἱ
τύποι· ἐλθὼν δὲ ἐπετέλεσεν αὐτὴν ὁ Χρι-
ωμεν τοίνυν καὶ τοὺς τύπους ἐν ὀλίγοις· οὐδὲ D
α διελθεῖν τὰ τῶν τύπων [e] τοῦ νῦν και-
ὸν δὲ παραθήσομαί τινα μαθόντες, καὶ τὰ λοι-
ε. Βούλεσθε οὖν ἀπ' αὐτοῦ τοῦ πάθους ἀρξό-
οῦν φησιν ὁ τύπος; Λάβετε ἀρνίον κατ' οἴ-
θύσατε, καὶ ποιήσατε ὡς προσέταξε καὶ
σεν. Ὁ δὲ Χριστὸς οὐχ οὕτως· οὐ γὰρ προσ-
ῦτο γενέσθαι· ἀλλ' αὐτὸς αὐτὸ γίνεται,
ίαν καὶ προσφορὰν τῷ Πατρὶ προσενεγκών.
ῶς ὁ μὲν τύπος ἐδόθη διὰ Μωϋσέως, ἡ δὲ
γένετο διὰ Ἰησοῦ Χριστοῦ. Καὶ πάλιν ἐν τῷ
[f] τῶν Ἀμαληκιτῶν πολεμούντων Ἑβραίοις,
μὲν ἐστηρίζοντο τοῦ Μωϋσέως, αἰρόμεναι
ὼν καὶ Ὢρ ἑκατέρωθεν ἑστώτων· ὁ δὲ Χρι- E
γενόμενος, αὐτὸς δι' ἑαυτοῦ τὰς χεῖρας [g] τεί-
τῆς γῆς μεριμνῶντες. Καὶ ὀρχηστοῦ μέν τις ἐρῶν καὶ
ἡνιόχου καὶ τοῦ τοῖς θηρίοις πυκτεύοντος, πάντα κι-
νεῖ καὶ πραγματεύεται, ὥστε ἐν τοῖς ἀγῶσι τοῖς E
ὑπὲρ αὐτοῦ μὴ ἔλαττον ἔχων ἀπελθεῖν· καὶ μακροὺς
συνείρουσιν ἐπαίνους, πρὸς τοὺς κατηγοροῦντας αὐτῶν
ἀπολογίαν συντιθέντες, καὶ μυρίοις βάλλοντες σκώμ-
μασι τοὺς ἐναντιουμένους· ὑπὲρ δὲ χριστιανισμοῦ [d]προ-
κειμένων λόγων, πάντες κάτω νεύουσι, καὶ κνῶνται,
καὶ χασμῶνται, καὶ καταγελασθέντες ἀναχωροῦσι. 102
Καὶ πῶς οὐκ ἄξια ταῦτα μυρίας ὀργῆς, ὅταν ὁ Χρι- A
στὸς ἀτιμότερος ὀρχηστοῦ φαίνηται παρ' ὑμῖν; εἴ γε
ὑπὲρ μὲν τῶν ἐκείνοις πεπραγμένων μυρίας ἀπολογίας
μεμελετήκατε, καίτοι γε πάντων αἰσχροτέρων ὄν-
των· ὑπὲρ δὲ τῶν τοῦ Χριστοῦ θαυμάτων, καίτοι γε
τὴν οἰκουμένην ἐπισπασαμένων, οὐδὲ ἐννοῆσαί τι καὶ
μεριμνῆσαι ἀνέχεσθε. Πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν
καὶ ἅγιον Πνεῦμα· εἰς ἀνάστασιν σωμάτων, εἰς ζωὴν
αἰώνιον. Ἂν τοίνυν ἔρηταί τις Ἑλλήνων· τίς ποτέ
ἐστιν οὗτος ὁ Πατήρ; τίς δὲ ὁ Υἱός; τίς δὲ τὸ Πνεῦμα
τὸ ἅγιον; ἢ πῶς καὶ ὑμεῖς τρεῖς λέγοντες θεοὺς, ἡμῖν
ἐγκαλεῖτε πολυθείαν; τί ἐρεῖτε; τί δὲ ἀποκρινεῖσθε; B
πῶς ἀποκρούσεσθε τὴν προσβολὴν τῶν λόγων τούτων;
Τί δὲ, ἂν σιγώντων ὑμῶν πάλιν ἐπενέγκῃ τὸ ἕτερον
ζήτημα, τί δέ ἐστιν ὅλως ἀνάστασις, ἐρωτῶν; ἆρα
γὰρ ἐν τούτῳ τῷ σώματι πάλιν ἀναστησόμεθα; ἆρα
ἐν ἑτέρῳ παρὰ τοῦτο; καὶ εἰ ἐν τούτῳ, τίς χρεία αὐτὸ
καταλυθῆναι; τί πρὸς ταῦτα ἐρεῖτε; Τί δὲ, ἂν λέγῃ·
διατί νῦν καὶ μὴ ἐν τοῖς ἔμπροσθεν παρεγένετο χρό-
νοις ὁ Χριστός; νῦν γὰρ ἔδοξεν αὐτῷ προνοῆσαι τῶν
ἀνθρώπων, τὸν δὲ ἄλλον ἅπαντα χρόνον ἡμῶν κατε-
φρόνει; [a]ἢ καὶ ἄλλα ἔτι ἂν πρὸς τούτοις τούτων
πλείονα ἐξετάζῃ; Οὐδὲ γὰρ ἀναγκαῖον πολλὰ ἐφεξῆς C
ζητήματα τιθέντας, τὰς λύσεις ἀποσιγᾷν, ὥστε μὴ
τοὺς ἀφελεστέρους ταύτῃ παραβλάψαι. Ἀρκεῖ γὰρ καὶ
τὰ εἰρημένα πρὸς τὸ ἀποτινάξαι ὑμῶν τὸν ὕπνον. Τί
οὖν; ἂν ταῦτα ἐξετάζωσιν, ὑμεῖς δὲ μηδὲ τῶν ῥημά-
των ὑπακούειν [b]δύνησθε ἁπλῶς τούτων, ἆρα μικρὰν
ὑποστησόμεθα δίκην, εἰπέ μοι, τοσαύτης πλάνης αἴ-
τιοι γινόμενοι τοῖς ἐν τῷ σκότῳ καθημένοις; Ἐβουλό-
μην, εἴ γε σχολῆς ἀπελαύετε πολλῆς, εἰς μέσον ἁπάν-
των ὑμῶν μιαροῦ τινος Ἕλληνος φιλοσόφου βιβλίον
καθ' ἡμῶν εἰρημένον ἀγαγεῖν, [c]καὶ ἑτέρου πάλιν
πρεσβυτέρου τούτου, ἵν' οὕτω γοῦν ὑμᾶς διανέστησα,

spicentur? quomodo non blasphemabunt Christum
ut planum et deceptorem, qui multorum stultitia
ad fraudem usus sit? Hujusmodi vero blasphemiæ
nos in causa sumus, qui noluerimus ediscendis pro
tuenda religione argumentis advigilare; sed his
contemtis velut superfluis, terrena solum curemus.
Et quidem saltatoris, aut aurigæ, aut cum feris
pugnantis amore captus quispiam, nihil non mo-
vet, nihil non agit, ut in certaminibus non infe-
riores evadant; illos admodum laudant, et adver-
sus vituperantes defensionem parant, adversa-
riosque mille convitiis onerant : cum vero de
Christianismo propugnando agitur, omnes caput
inclinant, torpescunt, oscitant, ac cum risu exce-
pti recedunt. Quanta hæc indignatione non digna
fuerint, cum Christus a vobis saltatore inferior
habetur? quandoquidem de illorum gestis mille
paratis defensiones, licet ipsi omnium turpissimi
sint; ubi autem de Christi miraculis, quæ totum
attraxerunt orbem, agitur, ne cogitare quidem aut
curare quidpiam videmini. Credimus in Patrem, et
Filium et Spiritum sanctum, in resurrectionem
corporum, in vitam æternam. Si quis ergo Græcus
interrogaverit, Quis est hic Pater? quis Filius?
quis Spiritus sanctus? et quomodo vos, qui tres
dicitis deos, nos accusatis quod deorum multipli-
citatem admittamus? quid dicetis? quid respon-
debitis? quomodo hanc objectionem depelletis?
Quid vero si, vobis tacentibus, aliam moveant
quæstionem : Quænam est illa resurrectio? num
in hoc corpore resurgemus? num in alio? si in
hoc, quæ necessitas ut dissolvatur? quid ad hæc
respondebitis? quid vero si hoc objiciat: Cur non
superiori tempore advenit Christus? an nunc hu-
mano generi providere visum illi est, et in præte-
rito omni tempore id neglexit? quid si alia plura
examinet? Neque enim expedit ut multas alias
quæstiones adjicientes, solutionem illarum tacea-
mus, ne hæc simplicioribus noceant. Nam quæ
diximus, sunt ad excutiendum somnum vestrum
satis. Quid ergo si hæc percontentur, vos autem
ne audire quidem hæc verba possitis? an, quæso,
exiguum nos manet supplicium, qui sedentibus
in tenebris tanta erroris causa simus? Vellem, si
per otium vestrum liceret, exsecrandi cujusdam
Græci philosophi librum contra nos scriptum huc
afferre, necnon alterius longe antiquioris, ut sic
vos excitarem, et tantam vestram segnitiem excute-

Philosophorum scripta contra Christianos tempore Chrysostomi.

[d] Savil. et plurimi Mss. προκειμένων. Morel. προτεινομένων.

[a] Quidam ἢ καὶ ἕτερα πρός. [Supra Savil. et Codd. cit. νῦν ἔδοξεν sine γάρ.]

[b] Nonnulli δυνήσεσθε.

[c] Morel. καὶ ἕτερον πολὺ πρεσβύτερον. Ibidem ἵν' οὕτω

rem. Nam si illi, ut nos impugnarent, ita advigilarunt, qua erimus digni venia, si illata contra nos tela propulsare nesciamus? Qua de causa producti
. Pet. 3. 5. sumus? Non audis apostolum dicentem : ***Parati estote ad defensionem omni vobis rationem exposcenti ejus quæ in vobis est spei.*** Paulus quo-
ol. 3. 16 que eadem utitur admonitione : ***Verbum Christi inhabitet in vobis abundanter.*** Sed quid ad hæc dicunt homines fucis insipientiores? Benedicta
'rov. 10.9. omnis anima simplex; et, ***Qui ambulat simpliciter, ambulat confidenter.*** Hoc quippe est omnium causa malorum, quod Scripturarum testimoniis opportune uti multi nesciant. Neque enim hic insipientem intelligit, neque ignarum qui nihil sciat, sed eum qui nec improbus, nec versutus sit, sed prudens. Nam si res ita esset, frustra di-
latth. 10. 6. ceretur : ***Estote prudentes sicut serpentes, et simplices sicut columbæ.*** Sed quid hæc ultra persequamur, ad nihil profutura? Præter ea enim quæ jam dicta sunt, alia quoque ad mores et vitæ institutum spectantia male geruntur a nobis. Verum undique miseri, undique ridiculi sumus; ac semper parati ad alios coarguendos, segnes sumus ad ea corrigenda quæ in nobis redarguuntur. Quamobrem, obsecro, nobis tandem attendentes, ne in reprehensione gradum sistamus. Neque enim hoc est ad Deum placandum satis; sed etiam optimam in omnibus mutationem exhibere studeamus, ut ad gloriam Dei vitam agentes, et ipsi futura gloria fruamur; quam nos omnes assequi contingat, gratia et benignitate Domini nostri Jesu Christi, cui gloria et imperium in sæcula sæculorum. Amen.

D καὶ τῆς πολλῆς νωθείας ἀπήγαγον. Εἰ γὰρ
μὲν, ὥστε καθ' ἡμῶν εἰπεῖν, τοσαῦτα ἠγρύπνησ
νος ἂν εἴημεν συγγνώμης ἡμεῖς ἄξιοι, εἰ μη
προσβολὰς τὰς καθ' ἡμῶν εἰσόμεθα ἀποκρού
Τίνος δὲ ἕνεκεν καὶ παρήχθημεν; Οὐκ ἀκού
ἀποστόλου λέγοντος· Ἕτοιμοι γίνεσθε πρὸς ἀπο
παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν
δος. Καὶ ὁ Παῦλος δὲ τὰ αὐτὰ παραινεῖ λέγ
λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως
τί φασι πρὸς ταῦτα οἱ [e] κηφήνων ἀλογώτεροι;
E εὐλογημένη πᾶσα ἁπλῆ· καὶ, Ὁ πορευόμενος
πορεύεται πεποιθώς. Τοῦτο γὰρ πάντων αἴτι
κακῶν, ὅτι οὐδὲ τὰς μαρτυρίας τῶν Γραφῶν
δέον ἐπίστανται παράγειν οἱ πολλοί. Οὐ γὰρ τὸν
τον ἐνταῦθα λέγει, οὐδὲ τὸν οὐδὲν εἰδότα, ἀλ
103 ἀπόνηρον, τὸν μὴ κακοῦργον, τὸν συνετόν. Ἐ
A τοῦτο ἦν, περιττὸν ἦν ἀκούειν, Γίνεσθε φρόνι
οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Ἀ
ταῦτα χρὴ λέγειν, εἰς οὐδὲν δέον ἀπαντῶντος
τοῦ λόγου; Πρὸς γὰρ τοῖς εἰρημένοις, οὐδὲ τι
ἡμῖν κατώρθωται, τὰ τοῦ βίου καὶ τῆς ζωῆς
ἀλλὰ πάντοθεν ἄθλιοι καὶ καταγέλαστοί ἐσμ
αἰτιᾶσθαι μὲν ἀλλήλους ἀεὶ πρόχειροι, διορθοῦ
ἐφ' οἷς αἰτιώμεθα καὶ ἐγκαλούμεθα ὀκνηροί. Δ
ρακαλῶ * ὑμᾶς, νῦν γοῦν ἡμῶν αὐτῶν γενομ
μὴ μέχρι τῆς κατηγορίας ἵστασθαι μόνον· οὐ γ
κεῖ τοῦτο ἐξιλεώσασθαι τὸν Θεόν· ἀλλὰ καὶ ἀ
B εἰς πάντα σπουδάσωμεν ἐπιδείξασθαι μεταβολ
εἰς δόξαν τοῦ Θεοῦ βιώσαντες, καὶ αὐτοὶ τῆς μ
σης ἀπολαύσωμεν δόξης· ἧς γένοιτο πάντας ἡμ
τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμ
σοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς
τῶν αἰώνων. Ἀμήν.

γοῦν ὑμᾶς διανέστησα, καὶ τῆς πολλῆς νωθείας ἀπήγαγον. In hæc verba probe notat Savilius, *ἵνα* bis hic contra grammaticæ rationem cum indicativo conjungi. Infra hæc verba, *τίνος δὲ ἕνεκεν παρήχθημεν*, non lecta fuisse videntur ab Interprete.

[d] Morel. *ἐλπίδος. ἀλλαχοῦ δὲ ὁμοίως τὰ αὐτά*, male. [Supra Savil. et Cod. 705 *ἕτοιμοι ἔσεσθε.*]

[e] *κηφήνων ἀλογώτεροι*, sic omnes pene Mss. et ita legit Interpres, qui vertit *fucis stultiores*. Savil. et Mor
Codd. 705 et 706] *κηφήνων ἀργότεροι.*

[f] Morel. *εἰ μὴ τοῦτο ἦν, περιττὸν ἦν ἀκούειν.* S
Mss. *εἰ τοῦτο ἦν, περιττὸν ἦν λέγειν*, et ita legit Aretinus.

* [*ὑμᾶς* abest a Savil. et Codd. cit. Mox iid
ἀρίστην πάντοθεν ἐπιδείξασθε τὴν μ.]

ΟΜΙΛΙΑ ιη'.

Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν αὐτῷ. C

Ῥάθυμόν πως ἡ ἀνθρωπίνη φύσις, καὶ ὀξύῤῥοπον πρὸς ἀπώλειαν, οὐ παρὰ τὴν τῆς φύσεως κατασκευὴν, ἀλλὰ παρὰ τὴν ἐκ προαιρέσεως ῥᾳθυμίαν· διὸ πολλῆς δεῖται τῆς ὑπομνήσεως. Καὶ ὁ Παῦλος δὲ διὰ τοῦτο γράφων τοῖς Φιλιππησίοις ἔλεγε· Τὰ αὐτὰ γράφειν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. Ἡ μὲν γὰρ γῆ τὰ σπέρματα παραλαβοῦσα ἅπαξ, εὐθέως [a] ἀποδίδωσι D τοὺς καρποὺς, καὶ οὐ δεῖται δευτέρας καταβολῆς· ἐπὶ δὲ τῆς ψυχῆς τῆς ἡμετέρας οὐχ οὕτως, ἀλλ' ἀγαπητὸν πολλάκις σπείραντα καὶ πολλὴν ἐπιδειξάμενον ἐπιμέλειαν, ἅπαξ γοῦν δυνηθῆναι τὸν καρπὸν ἀπολαβεῖν. Πρῶτον μὲν γὰρ δυσκόλως ἐνιζάνει τῇ διανοίᾳ τὰ λεγόμενα, διὰ τὸ πολλὴν μὲν ὑποκεῖσθαι τὴν σκληρότητα, μυρίαις δὲ συνέχεσθαι ταῖς ἀκάνθαις, καὶ πολλοὺς εἶναι τοὺς ἐπιβουλεύοντας καὶ τὰ σπέρματα διαρπάζοντας. Ἔπειτα ὅταν παγῇ καὶ ῥιζωθῇ, τῆς αὐτῆς πάλιν δεῖται σπουδῆς, ὥστε πρὸς ἀκμὴν ἐλθεῖν αὐτὰ, καὶ ἐλθόντα μεῖναι ἀσινῆ, καὶ μηδὲν παραβλαβῆναι παρὰ μηδενός. Ἐπὶ μὲν γὰρ τῶν σπερμάτων, ὅταν ὁ E στάχυς ἀπαρτισθῇ καὶ τὴν οἰκείαν ἰσχὺν ἀπολάβῃ, καὶ ἐρυσίβης καὶ αὐχμοῦ καὶ τῶν ἄλλων ἁπάντων εὐκόλως καταφρονεῖ· ἐπὶ δὲ τῶν δογμάτων οὐχ οὕτως, ἀλλὰ καὶ μετὰ τὸ τελείως ἐργασθῆναι τὸ πᾶν, πολλάκις ἐπελθὼν χειμὼν εἷς καὶ κλυδώνιον [b], δυσκολίας προσβαλούσης, καὶ ἀνθρώπων ἀπατᾷν εἰδότων ἐπιβουλευσάντων, καὶ ἑτέρων πειρασμῶν ποικίλων ἐπενεχθέντων, ἐλυμήνατο. Ταῦτα δὲ ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα ὅταν ἀκούσῃς τοῦ Ἰωάννου τὰ αὐτὰ 104 φθεγγομένου, [a] μὴ φλυαρίας καταγνῷς, μηδὲ περιτ- A τόν τινα εἶναι νομίσῃς καὶ φορτικόν. Ἐβούλετο μὲν γὰρ ἅπαξ εἰπὼν ἀκουσθῆναι· ἐπειδὴ δὲ οὐ πολλοὶ τοῖς λεγομένοις προσεῖχον ἐξ ἀρχῆς διὰ τὸν πολὺν ὕπνον, καὶ δευτέρᾳ πάλιν αὐτοὺς ἀφυπνίζει φωνῇ. Σκόπει δέ· εἶπεν, ὅτι Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονε· καὶ, ὅτι Οὐχ ἱκανός * ἐστι λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ· καὶ, ὅτι Αὐτὸς βαπτίζει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· καὶ, ὅτι τὸ Πνεῦμα τεθέαται καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ μένον ἐπ' αὐτόν·

[a] [ἐκδίδωσι iidem.]

[b] [Addunt iidem ἀπώλεσε, καὶ πραγμάτων.]

HOMILIA XVIII.

35. *Altera die iterum stabat Joannes, et ex discipulis ejus duo.* 36. *Et respiciens Jesum ambulantem, dicit : Ecce agnus Dei.* 37. *Et audierunt eum duo discipuli loquentem, et sequuti sunt Jesum.*

1. Segnis plane est humana natura, et ad perniciem prona, non ex ipsa naturæ conditione, sed ex voluntatis ignavia : quapropter multa opus habet monitione. Ideo Paulus Philippensibus scribens dicebat : *Eadem scribere, mihi quidem non grave, vobis autem tutum.* Nam terra quidem semel suscepto semine, statim fructus profert, neque altera eget satione : in anima autem nostra non ita res se habet; sed optabile est ut postquam frequenter jactum est semen, et post magnam exhibitam diligentiam, semel saltem possit fructum excipere. Primo quidem quæ dicuntur non facile imprimuntur in animum, quod multa substrata sit durities, innumeris spinis obstruatur anima, multosque insidiatores habeat qui semen abripiant. Deinde postquam infixum semen radices egerit, eadem est opus diligentia, ut ad vigorem perveniant semina, illæsaque maneant, neque lædantur ab aliquo. In seminibus enim cum spica perfecta virtutem suam accepit, æstum cæterasque pestes contemnit : in dogmatibus vero non sic; sed postquam totum opus impensum est, superveniens hiems ac tempestas, difficultate præoccupante, et fraudulentis hominibus insidiantibus, ingruentibus variis tentationibus, totum labefactatur. Hæc porro non sine causa a nobis dicta sunt; sed ut dum audis Joannem eadem ipsa repetentem, ne quasi nugacem damnes, neque inanem onerosumve existimes. Voluisset quippe semel loquutus audiri : quia vero non multi erant qui dictis statim attenderent ob somnolentiam, repetita voce illos expergefacit. Jam hic attende : dixit, *Qui post me venit, ante me factus est*; et, *Non sum dignus solvere corrigiam calceamenti ejus*; et, *Ipse vos baptizabit in Spiritu sancto et igni*, quodque viderit Spiritum descendentem sicut columbam, et manentem super eum; et testificatus est quod ipse esset Filius Dei : nemo attendit, nemo inter-

Philipp. 3. 1.

Cur Joannes Bapt. eadem ipsa repetat.

Matth. 3. 11.

[a] Morel. μὴ ἀπειροκαλίαν αὐτοῦ καταγνῷς.

* [εἰμι Savil. et Codd. nostri.]

rogavit vel dixit, Cur hæc loqueris, qua de causa et ratione? Dixit rursum, *Ecce agnus Dei, qui tollit peccatum mundi*. Neque sic illorum ignaviam tetigit. Ideo eadem ipsa repetere cogitur, ac si terram quamdam asperam et duram renovatione emolliret, et verbo quasi aratro subactam mentem excitaret, ut profunde semina jaceret. Ideo non longo utitur sermone, quia unum tantum curabat, ut illos cum Christo conjungeret. Sciebat enim illos, si hoc semel suscepissent et obtemperassent, non ultra testimonio opus habituros: ut etiam evenit. Nam si Samaritani, postquam illum audierant, mulieri di-
Joan. 4. 42. cunt: *Non jam propter tuam loquelam credimus: ipsi enim novimus, quia hic est Salvator mundi Christus;* multo citius discipuli capti fuissent, ut revera capti sunt. Cum enim accessissent, et una tantum vespera audivissent, non ultra ad Joannem reversi sunt, sed ita illi hæserunt, ut Joannis etiam ministerium acciperent, ipsumque prædicarent.
v. 42. *Invenit,* inquit, *hic fratrem suum Simonem, et dicit ei : Invenimus Messiam, quod est interpretatum Christus*. Hoc vero mihi consideres velim, quomodo, cum diceret, *Qui post me venit, ante me factus est;* et, *Non sum dignus solvere corrigiam calceamenti ejus,* neminem ceperit; cum autem de œconomia loquutus est, et in humiliorem sermonem descendit, tunc sequuti sint discipuli. Neque illud tantum considerandum est; sed etiam quod non tam multi alliciantur, quando quid magnum et sublime de Deo dicitur, quam ubi clementiæ et benignitatis verba, quæ ad auditorum salutem spectent, proferuntur. Audierunt enim quod tolleret peccatum mundi, et statim accurrerunt. Nam si scelera abluenda sunt, inquiunt, Cur cunctamur? adest qui sine labore nos liberet; quomodo non extremæ dementiæ fuerit, donum in aliud tempus rejicere? Audiant catechumeni, qui usque ad extremum halitum salutem suam remittunt. Rursum stetit Joannes, inquit, et dixit: *Ecce agnus Dei*. Nihil Christus loquitur; sed omnia ille. Sic sponsus solet; nihil ipse sponsæ dicit, sed adest silens : alii illum indicant, sponsamque ipsi tradunt : illa comparet, neque sponsus illam per se accipit, sed alio tradente. Postquam vero illam traditam acceperit, ita erga illam afficitur, ut non ultra pronuborum recordetur. Id

Erant quidam catechumeni, qui usque ad extremum halitum baptisma differrent.

καὶ μεμαρτύρηκεν, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· οὐδεὶς προσέσχεν οὐδὲ ἠρώτησεν, οὐδὲ εἶπεν, τί ταῦτα
B λέγεις, καὶ ὑπὲρ τίνος, καὶ διατί; Εἶπε πάλιν, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Οὐδὲ οὕτω καθήψατο τῆς ἀναισθησίας αὐτῶν. Διὰ τοῦτο λοιπὸν ἀναγκάζεται τὰ αὐτὰ λέγειν πάλιν, καθάπερ τινὰ σκληρὰν καὶ ἀνένδοτον γῆν τῇ νεώσει μαλάττων, καὶ τῷ [b] λόγῳ οἱόν τινι ἀρότρῳ πεπιλημένην ἀνεγείρων τὴν διάνοιαν, ὥστε εἰς τὸ βάθος τὰ σπέρματα καταβαλεῖν. Διὰ δὴ τοῦτο οὐδὲ μακρὸν ποιεῖ τὸν λόγον, ὅτι ἓν μόνον ἐσπούδαζε, προσαγαγεῖν αὐτοὺς καὶ κολλῆσαι τῷ Χριστῷ. Ἤδει γὰρ ὅτι τοῦτο καταδεξάμενοι καὶ πεισθέντες, οὐ δεήσονται τοῦ μαρτυρή-
C σοντος αὐτῷ λοιπόν· ὅπερ οὖν καὶ γέγονεν. Εἰ γὰρ οἱ Σαμαρεῖται λέγουσι μετὰ τὴν ἀκρόασιν αὐτοῦ τῇ γυναικὶ, Οὐκ ἔτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ Σωτὴρ τοῦ κόσμου ὁ Χριστός· πολλῷ μᾶλλον [c] οἱ μαθηταὶ τάχιον ἐχειρώθησαν ἂν, ὃ δὴ καὶ γέγονεν. Ἐλθόντες γὰρ καὶ ἀκούσαντες μίαν ἑσπέραν, οὐκ ἔτι πρὸς Ἰωάννην ὑπέστρεψαν, ἀλλ' οὕτως αὐτῷ προσηλώθησαν, ὥστε τὴν Ἰωάννου διακονίαν ἀναδέξασθαι, καὶ αὐτοὶ κηρύττειν αὐτόν. Εὑρίσκει γὰρ οὗτος, φησὶ, τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ [d] λέγει αὐτῷ· εὑρήκαμεν τὸν Μεσσίαν, ὅ
D ἐστι μεθερμηνευόμενον ὁ Χριστός. Θέα δέ μοι κἀκεῖνο, πῶς, ὅτε μὲν ἔλεγεν, Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονε, καὶ, ὅτι Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ, οὐδένα εἷλεν· ὅτε δὲ περὶ τῆς οἰκονομίας διελέχθη, καὶ ἐπὶ τὸ ταπεινότερον τὸν λόγον [e] ἤγαγε, τότε ἠκολούθησαν οἱ μαθηταί. Οὐ τοῦτο δὲ μόνον ἐστὶ κατιδεῖν, ἀλλ' ὅτι καὶ οὐχ οὕτως οἱ πολλοὶ προσάγονται, ὅταν τι μέγα καὶ ὑψηλὸν περὶ Θεοῦ λέγηται, ὡς ὅταν χρηστὸν καὶ φιλάνθρωπον καὶ εἰς τὴν τῶν ἀκουόντων ἀνθρώπων
E σωτηρίαν ἧκον. Ἤκουσαν γοῦν ὅτι αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ εὐθέως ἐπέδραμον. Εἰ γάρ ἐστιν ἀπολούσασθαι τὰ ἐγκλήματα, τίνος ἕνεκεν, φησὶν, ἀναβαλλόμεθα; πάρεστιν ὁ χωρὶς πόνων ἐλευθερώσων ἡμᾶς· πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας ὑπερτίθεσθαι τὴν δωρεάν; Ἀκουέτωσαν οἱ κατηχούμενοι, καὶ πρὸς ἐσχάτας ἀναπνοὰς τὴν οἰκείαν ἀναβαλλόμενοι σωτηρίαν. Πάλιν εἱστήκει, φησὶν, ὁ Ἰωάννης καὶ λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ
105 Θεοῦ. Οὐδὲν ὁ Χριστὸς διαλέγεται, ἀλλὰ πάντα ἐκεῖ-
A νος. Οὕτω καὶ ἐπὶ τοῦ νυμφίου γίνεται. Οὐκ αὐτός τι λέγει πρὸς τὴν νύμφην τέως, ἀλλὰ πάρεστι μὲν σιγῇ, ἕτεροι δὲ αὐτὸν δηλοῦσι, καὶ τὴν νύμφην ἐγχειρίζουσι

[b] Savil. λόγῳ καθάπερ ἀρότρῳ. Paulo post Morel. καταβαλεῖν. ἐντεῦθεν οὐδέ. [Tum Savil. et Codd. nostri ἐκτείνει λόγον.]

[c] Sic Savil. et Mss. Morel. οἱ μαθηταὶ τοῦτο ἂν ἔπαθον, καὶ τοῖς λόγοις αὐτοῦ ἐχειρώθησαν ἐλθόντες. [Mox Savil. et Codd. cit. post ἑσπέραν inserunt αὐτοῦ. Iidem Codd. ἀπελθόντες pro ἐλθόντες.]

[d] Morel. λέγει αὐτῷ. θέα δέ μοι, omissis interpositis.

[e] Morel. ἤγαγε, Savil. [et Codd. cit.] κατήγαγε. [Infra iidem ἀνῆκον pro ἧκον.]

δὲ ἕτεροι· αὕτη δὲ φαίνεται μόνον, καὶ οὐκ ἀφ' ἑαυτοῦ ταύτην ἄπεισι λαβὼν, ἀλλ' ἑτέρου παραδόντος αὐτήν. Ὅταν δὲ λάβῃ παραδοθεῖσαν, οὕτως αὐτὴν διατίθησιν, ὡς μηκέτι μεμνῆσθαι τῶν κατεγγυησάντων. Τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν. Ἦλθεν ἁρμοσόμενος τὴν Ἐκκλησίαν· οὐδὲν αὐτὸς εἶπεν, ἀλλὰ παρεγένετο μόνον· ὁ δὲ φίλος αὐτοῦ ὁ Ἰωάννης τὴν δεξιὰν ἐνέθηκε τῆς νύμφης, διὰ τῶν λόγων ἐγχειρίσας αὐτῷ τὰς ψυχὰς τῶν ἀνθρώπων. Λαβὼν αὐτὸς λοιπὸν, B οὕτως αὐτοὺς διέθηκεν, ὡς μηκέτι πρὸς τὸν ἐγχειρίσαντα ἀπελθεῖν.

Οὐ τοῦτο δὲ [a] μόνον, ἀλλὰ καὶ ἕτερόν ἐστιν ἐνταῦθα παρατηρῆσαι. Καθάπερ γὰρ ἐπὶ τῶν γάμων οὐχ ἡ κόρη πρὸς τὸν νυμφίον ἄπεισιν, ἀλλ' οὗτος πρὸς αὐτὴν ἐπείγεται, κἂν βασιλέως υἱὸς ᾖ, κἂν εὐτελῆ τινα καὶ ἀπεῤῥιμμένην, κἂν θεραπαινίδα κατεγγυήσασθαι μέλλῃ· οὕτω καὶ ἐνταῦθα [b] συνέβη. Οὐχ εἰς τὸν οὐρανὸν ἀνῆλθε τῶν ἀνθρώπων ἡ φύσις, ἀλλ' αὐτὸς πρὸς τὴν εὐκαταφρόνητον ταύτην καὶ εὐτελῆ παραγέγονε· καὶ γενομένων [c] τῶν γάμων, οὐκ εἴασεν ἐνταῦθα μένειν αὐτὴν λοιπὸν, ἀλλὰ παραλαβὼν, πρὸς C τὸν οἶκον ἀνήγαγε τὸν πατρικόν. Τί δήποτε δὲ οὐ κατ' ἰδίαν λαμβάνει τοὺς μαθητὰς τοὺς ἑαυτοῦ, καὶ περὶ τούτων αὐτοῖς διαλέγεται ὁ Ἰωάννης, καὶ οὕτως αὐτοὺς * δίδωσι τῷ Χριστῷ, ἀλλὰ δημοσίᾳ μετὰ πάντων αὐτοῖς φησιν· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ; Ἵνα μὴ δόξῃ συσκευῆς εἶναι τὸ ἔργον. Εἰ μὲν γὰρ παρ' αὐτοῦ κατ' ἰδίαν παρακληθέντες ἀπῄεσαν, καὶ ὡς χάριν αὐτῷ παρέχοντες, ταχέως ἂν ἴσως καὶ ἀπεπήδησαν· νῦν δὲ ἐκ τῆς κοινῆς γενομένης διδασκαλίας καταδεξάμενοι τὴν ἀκολούθησιν, βέβαιοι λοιπὸν ἔμενον μαθηταὶ, ὡς οὐ διὰ τὴν εἰς τὸν διδάσκαλον χάριν ἀκολουθήσαντες, ἀλλ' εἰλικρινῶς καὶ πρὸς τὸ κέρδος ὁρῶντες τὸ ἑαυτῶν. Οἱ μὲν οὖν προφῆται καὶ οἱ ἀπόστολοι πάν- D τες ἀπόντα αὐτὸν ἐκήρυττον· οἱ μὲν πρὸ τῆς κατὰ σάρκα παρουσίας, οἱ δὲ μετὰ τὴν ἀνάληψιν· οὗτος δὲ μόνος παρόντα. Διὸ καὶ φίλον αὐτὸν τοῦ νυμφίου φησὶν, ἐπειδὴ καὶ ἐν τοῖς γάμοις μόνος αὐτὸς παρεγένετο. Καὶ γὰρ αὐτὸς πάντα ἐποίησε καὶ ἀπετέλεσεν, αὐτὸς τῷ πράγματι τὴν ἀρχὴν παρέσχε. Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. Τοῦτο εἶπε, δεικνὺς ὅτι οὐ τῇ φωνῇ μόνον, ἀλλὰ καὶ τοῖς ὀφθαλμοῖς ἐμαρτύρει· καὶ γὰρ ἐθαύμαζε τὸν Χριστὸν χαίρων καὶ ἀγαλλόμενος. [d] Καὶ οὐ ποιεῖ τὸν λόγον παρακλητικὸν τέως, ἀλλὰ θαυμάζει μόνον καὶ ἐκπλήττεται τὸν παρόντα· καὶ τὴν δωρεὰν δὲ αὐτοῖς E πᾶσιν ἐφ' ἣν παρεγένετο δηλοῖ, καὶ τὸν τρόπον τοῦ καθαρμοῦ. Ὁ γὰρ ἀμνὸς ἀμφότερα ταῦτα ἐμφαίνει.

circa Christum evenit. Venit in sponsam ducturus Ecclesiam; nihil ipse dixit, sed adfuit tantum : Joannes autem amicus ejus sponsæ dexteram ipsi tradidit, verbis illi hominum animas concilians: quos acceptos ille ita affecit, ut non ultra ad eum qui tradiderat reverterentur.

2. Neque hoc tantum, sed etiam aliud hic est observandum. Quemadmodum in nuptiis non sponsum adit puella, sed ille ad ipsam festinat, etiamsi filius regis sit, etiamsi illa sit vilioris conditionis, imo si ancillam ducturus sit : ita et hic contigit. Hominum natura non ascendit in cælum, sed ipse ad vilem illam et contemtu dignam descendit : postque celebratas nuptias, non sivit illam hic ultra remanere, sed abductam in paternam domum duxit. Cur Joannes non seorsim discipulos accipit, ut de hisce rebus ipsos alloquatur, et sic illos Christo tradat, verum palam præsentibus omnibus dicit, *Ecce agnus Dei?* Ne videretur illud de industria factum esse. Nam si illo seorsim hortante ad Christum abiissent, ut gratiam Joanni habentes, cito fortasse resiliissent: nunc autem ex communi doctrina ad Christum sequendum inducti, firmi perstiterunt discipuli, utpote qui non in gratiam magistri sequuti essent, sed propriæ utilitatis causa. Prophetæ utique et apostoli omnes absentem illum prædicarunt; illi ante adventum, hi post assumtionem ejus : hic vero solus præsentem prædicat; ideoque illum amicum sponsi dicit, quia nuptiis ipse solus adfuit. Etenim ipse omnia fecit et perfecit: ipse rei principium dedit. *Et respiciens Jesum ambulantem dixit, Ecce agnus Dei*; ostendens se non voce tantum, sed et oculis testificari. Mirabatur quippe Christum gaudens et exsultans. Neque statim hortatur, sed interim præsentem miratur tantum et obstupescit; donumque quod allatum venerat ostendit, itemque purgationis modum. Agnus quippe hæc ambo declarat. Neque dixit, Qui sublaturus est, vel, Qui sustulit, sed, *Qui tollit peccata mundi;* utpote qui id semper faciat. Neque enim tunc solum sustulit cum passus est, sed ex illo ad hoc usque tempus tollit peccata, non

Joannes solus præsentem Christum prædicavit.

[a] Morel. *μόνον αὐτοῦ*.
[b] Savil. *γέγονεν*. Morel. *συνέβη*, quod idipsum est.
[c] Alii *τῶν πραγμάτων*.

* [*παραδίδωσι* Savil. et Codd. 705, 706.]
[d] Morel. *καὶ οὐδὲ ποιεῖ*. Savil. *καὶ οὐ ποιεῖ*. [In præcedentibus multum variant Codd.]

semper crucifixus (unum enim pro peccatis ob-
tulit sacrificium), sed semper hoc uno sacrificio
purificat. Quemadmodum igitur Verbum excel-
lentiam ostendit, et Filius præstantiam qua aliis
antecellit: sic agnus, et Christus, et propheta,
lux vera, pastor bonus, et quæcumque de illo di-
cuntur cum articuli additamento, multam præ se
ferunt distinctionem. Nam multi erant agni, pro-
phetæ, christi, filii; sed ab illis omnibus longe
distat ipse. Neque articulo tantum id confirma-
vit, sed etiam additamento Unigeniti. Nihil enim
ipsi commune cum creatura est. Quod si cui ex-
tra tempus dictum videatur, hora nempe decima
(nam hoc tempore, *Hora erat quasi decima,* in-
quit), hic certe mihi longe aberrare videtur.
Nam apud multos quidem eorum qui carni ser-
viunt, post sumtum prandium non videtur oppor-
tunum esse tempus ad res serias tractandas, quod
ciborum mole cor obruatur: ubi autem vir erat
qui ne communi quidem cibo uteretur, quique
etiam vespere ita sobrius et levis erat, ut nos su-
mus matutinis horis, imo longe magis (apud nos
enim sæpe vespertini cibi reliquiæ in imagine
versantur; ille vero nulla re hujusmodi navicu-
lam gravabat): jure vesperi de rebus hisce loque-
batur. Ad hæc vero in deserto sedes habebat et
prope Jordanem, quo omnes cum tremore magno
ad baptismum properabant, parum sæcularia tunc
curantes: quandoquidem cum Christo per triduum
jejuni perseverarunt. Hoc enim præconis stre-
nui, et accurati agricolæ opus est, non ante dis-
cedere, quam videat insitum verbum radices
ponere. Cur autem non totam peragravit Judæam,
ut illum prædicaret, sed secus flumen stetit, ex-
spectans eum, ut advenientem ostenderet? Quia
illud per opera fieri volebat: id vero interim cu-
rabat, ut illum notum faceret, ac quibusdam sua-
deret, ut æternam vitam audirent. Majus autem
ipsi relinquit testimonium, per opera confirman-
Joan. 5.34. et 35. dum; quemadmodum ipse dicit: *Ego non ab*
homine accipio testimonium: opera enim quæ
dedit mihi Pater, hæc sunt quæ testificantur
de me. Vide quam efficacius illud esset. Quia
enim parvam injecerat scintillam, repente flamma
in altum erupit. Nam qui prius Joannis verbis

Καὶ οὐκ εἶπεν, ὁ ληψόμενος, ἢ ὁ ἄρας· ἀλλ', Ὁ αἴ-
ρων τὰς ἁμαρτίας τοῦ κόσμου, °ὡς ἀεὶ τοῦτο ποιοῦν-
τος αὐτοῦ. Οὐ γὰρ τότε μόνον ἔλαβεν ὅτε ἔπαθεν,
106 ἀλλ' ἐξ ἐκείνου μέχρι τοῦ παρόντος αἴρει τὰς ἁμαρ-
A τίας, οὐκ ἀεὶ σταυρούμενος (μίαν γὰρ ὑπὲρ ἁμαρτιῶν
προσήνεγκε θυσίαν), ἀλλ' ἀεὶ καθαίρων διὰ τῆς μιᾶς
ἐκείνης. Ὥσπερ οὖν ἡμῖν ὁ Λόγος τὸ ἐξαίρετον δεί-
κνυσι, καὶ ὁ Υἱὸς τὸ ἐξηλλαγμένον πρὸς τοὺς ἄλλους
ἐμφαίνει· οὕτω καὶ ὁ ἀμνὸς, καὶ ὁ Χριστὸς, καὶ ὁ
προφήτης, καὶ τὸ φῶς τὸ ἀληθινὸν, καὶ ὁ ποιμὴν
ὁ καλὸς, καὶ ὅσα ἂν ἐπ' αὐτοῦ λέγηται * μετὰ τῆς τοῦ
ἄρθρου προσθήκης, πολὺ δείκνυσι τὸ διωρισμένον.
Καὶ γὰρ ἀμνοὶ ἦσαν πολλοὶ, καὶ προφῆται, καὶ χρι-
στοὶ, καὶ υἱοί· ἀλλὰ πάντων ἐκείνων αὐτὸν ἀφίστησι
πολλῷ τῷ μέσῳ. Καὶ οὐδὲ τῷ ἄρθρῳ τούτῳ ἠσφαλίσατο
μόνον, ἀλλὰ καὶ τῇ τοῦ Μονογενοῦς προσθήκῃ. Οὐδὲν
B γὰρ αὐτῷ κοινὸν πρὸς τὴν κτίσιν. Εἰ δέ τινι παρὰ
καιρὸν εἶναι δοκεῖ, τὸ ὥρᾳ δεκάτῃ ταῦτα λέγεσθαι (καὶ
γὰρ οὗτος ὁ καιρὸς τότε τῆς ἡμέρας ἦν· Ὥρα γὰρ ἦν ὡς
δεκάτη, φησὶν), ἐσφάλθαι σφόδρα ὁ τοιοῦτός μοι δοκεῖ.
Ἐπὶ μὲν γὰρ τῶν πολλῶν καὶ τῇ σαρκὶ δουλευόντων,
εἰκότως ὁ μετὰ τὴν ἑστίασιν καιρὸς οὐκ ἔστι σφόδρα
ἐπιτήδειος πρός τι τῶν ἀναγκαίων, διὰ τὸ τὴν καρ-
δίαν τοῖς σιτίοις βαρύνεσθαι· ἔνθα δὲ ἀνὴρ ἦν οὐδὲ
τῆς κοινῆς μετέχων τροφῆς, ἀλλὰ καὶ τὴν ἑσπέραν
μετὰ τοσαύτης διάγων νήψεως, μεθ' ὅσης ἡμεῖς ὑπὸ
τὴν ἕω, μᾶλλον δὲ καὶ μετὰ πολλῷ πλείονος (ἐπὶ
μὲν γὰρ ἡμῶν πολλάκις τῆς ἑσπερινῆς τροφῆς λεί-
ψανα ἐναπολειφθέντα, φαντάζει τὴν ψυχὴν, ἐκεῖνος
C δὲ ᵃ οὐδενὶ τούτων τὸ πλοῖον ἐβάρυνεν)· εἰκότως καὶ
δείλης ὀψίας περὶ τοιούτων ἐφθέγγετο. Ἔπειτα καὶ ἐν
ἐρήμῳ διέτριβε παρὰ τὸν Ἰορδάνην, ἔνθα πάντες
μετὰ πολλοῦ τοῦ τρόμου πρὸς τὸ βάπτισμα ἀπήντων,
τῶν βιωτικῶν βραχὺ φροντίζοντες τότε· ἐπεὶ καὶ τῷ
Χριστῷ τρεῖς ἡμέρας προσεκαρτέρησαν, καὶ ἦσαν
ἄσιτοι. Τοῦτο γὰρ σφοδροῦ κήρυκος καὶ ἐπιμελοῦς
γεωργοῦ, μὴ πρότερον ἀποστῆναι, ἕως ἂν ἴδῃ ᵇ κα-
τασχεθέντα τὸν φυτευθέντα λόγον. Τί δήποτε δὲ οὐ
περιῆλθε πανταχοῦ τῆς Ἰουδαίας κηρύσσων αὐτὸν,
ἀλλ' εἱστήκει παρὰ τὸν ποταμὸν, περιμένων ἐλθεῖν
D αὐτὸν καὶ δεῖξαι παραγενόμενον; Ὅτι διὰ τῶν ἔργων
ἐκεῖνο γενέσθαι ἐβούλετο· τὸ δὲ σπουδαζόμενον, γνώ-
ριμον τέως ποιῆσαι μόνον, καὶ πεῖσαί τινας ἀκοῦσαι
τῆς αἰωνίου ζωῆς. Τὴν δὲ μείζονα αὐτῷ καταλιμπά-
νει μαρτυρίαν τὴν διὰ τῶν ἔργων, καθάπερ καὶ αὐ-
τός φησιν· Ἐγὼ οὐ παρὰ ἀνθρώπου λαμβάνω τὴν
μαρτυρίαν· τὰ γὰρ ἔργα ἃ ἔδωκέ μοι ὁ Πατὴρ, ταῦτά
ἐστι τὰ μαρτυροῦντα περὶ ἐμοῦ. Ὅρα γοῦν πῶς τοῦτο
ἐνεργέστερον ἦν. Ἐπειδὴ γὰρ μικρὸν ἐνέβαλε σπιν-

° Quidam ὡσανεί.
* [διὰ τῆς Savil. et Cod. 705.]

ᵃ Morel. ἐπὶ οὐδενί. In Savil. et Mss. ἐπί deest.
ᵇ Morel. κατασχεθέντα, Savil. κατασχόντα.

θήρα, ἀθρόως ἡ πυρὰ πρὸς τὸ ὕψος ἤρετο. Οἱ γὰρ πρὸ τούτου μηδὲ προσέχοντες τοῖς λεγομένοις, ὕστερον λέγουσι· Πάντα ὅσα εἶπεν Ἰωάννης, ἀληθῆ ἐστιν.

[c] Ἄλλως δὲ καὶ εἰ περινοστῶν ταῦτα ἔλεγεν, ἔδοξεν E ἂν ἐκ σπουδῆς τινος ἀνθρωπίνης γίνεσθαι τὰ γινόμενα, καὶ [d] ὑποψίας ἦν μεστὸν τὸ κήρυγμα. Καὶ ἤκουσαν οἱ μαθηταὶ αὐτοῦ οἱ δύο, καὶ ἠκολούθησαν αὐτῷ. Καίτοι γε καὶ ἕτεροι ἦσαν αὐτῷ μαθηταὶ, ἀλλ' ἐκεῖνοι οὐ μόνον οὐκ ἠκολούθησαν, ἀλλὰ καὶ ζηλοτύπως 107 πρὸς αὐτὸν διετέθησαν· Ῥαββὶ γὰρ, φησὶν, ὃς ἦν A μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. Καὶ [a] πάλιν οὗτοι φαίνονται ἐγκαλοῦντες· Διατί ἡμεῖς νηστεύομεν, καὶ οἱ μαθηταί σου οὐ νηστεύουσιν; Ἀλλ' οἱ τῶν ἄλλων βελτίους οὐδὲν τοιοῦτον ἔπαθον, ἀλλ' ὁμοῦ τε ἤκουσαν καὶ ἠκολούθησαν. Ἠκολούθησαν δὲ, οὐχ ὡς τοῦ διδασκάλου καταφρονήσαντες, ἀλλ' ὡς αὐτῷ μάλιστα πεισθέντες, καὶ δεῖγμα μέγιστον τοῦ κρίσει λογισμῶν ὀρθῇ τοῦτο ποιεῖν ἐξενεγκόντες. Οὐδὲ γὰρ παρακληθέντες αὐτὸ ἐποίησαν, ὅπερ ὕποπτον ἦν, ἀλλ' ἐπειδὴ προεῖπε μόνον τὸ μέλλον, ὅτι βαπτίσει ἐν Πνεύ- B ματι ἁγίῳ, ἠκολούθησαν αὐτῷ. Οὐ τοίνυν ἀπέστησαν τοῦ διδασκάλου, ἀλλ' ἐβουλήθησαν μαθεῖν, τί πλέον φέρει τοῦ Ἰωάννου. Καὶ ὅρα τὴν σπουδὴν μετὰ αἰδοῦς γινομένην. Οὐδὲ γὰρ εὐθέως προσελθόντες ἐπηρώτησαν τὸν Ἰησοῦν ὑπὲρ ἀναγκαίων καὶ μεγίστων πραγμάτων, οὐδὲ δημοσίᾳ παρόντων ἁπάντων ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἰδίᾳ διαλεχθῆναι αὐτῷ ἐσπούδαζον. Ἤδεισαν γὰρ οὐ ταπεινοφροσύνης, ἀλλ' ἀληθείας ὄντα τοῦ διδασκάλου τὰ ῥήματα. Ἦν Ἀνδρέας, φησὶν, ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ. Τίνος οὖν ἕνεκεν καὶ τὸ τοῦ ἑτέρου οὐκ ἐγνώρισεν ὄνομα; Τινές C φασι διὰ τὸ αὐτὸν εἶναι τὸν γράφοντα τὸν ἠκολουθηκότα· τινὲς δὲ οὐχ οὕτως, ἀλλ' ὅτι ἐκεῖνος οὐχὶ τῶν ἐπισήμων ἦν. Οὐδὲν οὖν πλέον τῶν ἀναγκαίων λέγειν ἐχρῆν. Τί γὰρ ὄφελος ἐκ τοῦ μαθεῖν ἐκείνου τὴν προσηγορίαν, ἐπεὶ οὐδὲ τῶν ἑβδομήκοντα δύο λέγει τὰ ὀνόματα; [b] Τοῦτο καὶ παρὰ Παύλῳ ἔστιν ἰδεῖν· Συνεπέμψαμεν γὰρ αὐτῷ, φησὶ, τὸν ἀδελφὸν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ. Τοῦ δὲ Ἀνδρέου μέμνηται καὶ δι' ἑτέραν αἰτίαν. Ποίαν δὴ ταύτην; Ἵνα ὅταν ἀκούσῃς, ὅτι Σίμων ἀκούσας μετ' αὐτοῦ, Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων, οὐ διηπόρησε πρὸς τὴν παράδοξον ταύτην ὑπόσχεσιν, μάθῃς ὅτι τὰς ἀρχὰς τῆς πίστεως ὁ ἀδελ- D

non attenderant, demum dicunt: *Omnia quæ Joannes dixit, vera sunt.* Joan. 10. 42.

3. Alioquin autem si circumeundo ista dixisset, hæc humano studio peracta visa fuissent, ac prædicatio deinceps in suspicionem venisset. *Et audierunt eum duo discipuli ejus, et sequuti sunt eum.* Atqui alii quoque erant Joannis discipuli, verum illi non modo non sequuti sunt, sed etiam ipsi invidebant: dicebant enim, *Rabbi, qui erat* Joan. 3. 26. *tecum trans Jordanem, cui tu testimonium perhibuisti, ecce hic baptizat, et omnes veniunt ad eum.* Ac rursum iidem ipsi incusantes dicunt: *Quare nos jejunamus, et discipuli tui* Matth. 9. 14. *non jejunant?* Verum qui aliis erant meliores, non ita affecti erant, sed statim atque audierunt, sequuti sunt. Sequuti sunt autem, non quod pristinum doctorem spernerent, sed quod ipsi maxime obtemperarent; et argumentum erat maximum illos ex rectæ mentis ratiocinio id egisse. Non enim hortatu ad id adducti sunt, quod suspiciosum fuisset; sed quia tantum prædixerat ipsum esse baptizaturum in Spiritu sancto, sequuti sunt eum. Non ergo magistrum reliquerunt, sed ediscere voluerunt quid amplius ille ferret, quam Joannes. Et animadverte verecundam diligentiam. Non enim statim accedentes Jesum interrogarunt de necessariis magnisque rebus: neque palam omnibus præsentibus, et perfunctorie: sed seorsim ipsum alloqui studuerunt. Sciebant enim doctoris sui verba non ex modestia, sed ex veritate profisci. 40. *Erat autem Andreas frater Simonis Petri, unus ex duobus qui audierant a Joanne, et sequuti sunt eum.* Cur ergo alterius nomen non profert? Quidam dicunt eum qui hoc scripsit, ipsum esse qui sequutus est; alii contra, quia ille non ex conspicuis erat, nihil præter necessaria sibi dicendum esse putasse. Quid enim utilitatis ex indicato nomine, quando neque septuaginta duo discipulorum nomina proferuntur? Id quod etiam apud Paulum observes dicentem: *Misimus cum illo fratrem in multis sæpe stu-* 2. Cor. 8. 18. *diosum, cujus laus est in evangelio.* Andreæ autem meminit ob aliam causam. Quænam illa? Ut cum audieris, Simonem ubi cum illo audisset, *Venite post me, et faciam vos piscatores* Matth. 4. 19.

[c] [καὶ πρὸς τούτοις εἰ περιν. Codd. 705, 706.]
[d] Savil. ὑποψίας εἶναι μεστὸν τὸ κήρυγμα. καί. Morel. καὶ ὑποψίας ἦν μετὰ τὸ κήρυγμα λοιπόν.
[a] Savil. [et Cod. 705] πάλιν φαίνονται ἐγκαλοῦντες. Morel. πάλιν οὗτοι αὐτοὶ λέγουσιν ἐγκαλοῦντες.
[b] Savil. [et Codd. 705, 706] τοῦτο καὶ Παῦλος ἐποίησε. Morel. τοῦτο καὶ παρὰ Παύλῳ ἐστὶν ἰδεῖν.

hominum, non dubitasse de tam inexspectata promissione, discas fratrem ejus jam ante fidei fundamenta jecisse. 38. *Conversus autem Jesus, et videns eos sequentes, dicit eis : Quid quæritis?* Hinc docemur Deum donis non prævenire voluntates nostras; sed ubi nos incepimus, cum voluntatem præmisimus, tunc plurimas ille nobis dat salutis occasiones. *Quid quæritis?* Quid hoc est? qui novit corda hominum, cui cogitationes nostræ patent, hic interrogat? Sed non ut discat, (quomodo enim id dici possit?) sed ut per interrogationem illos sibi magis conciliet, majoremque indat fiduciam, illosque colloquio dignos ostendat. Verisimile enim est illos, utpote ignotos, erubuisse et formidasse, qui talia de magistro audissent. Hæc itaque omnia abigens, verecundiam nempe et metum, interrogat illos; nec sinit cum silentio domum pervenire. Etiamsi vero non interrogasset, perstitissent ipsum sequendo, et in domum usque cum illo pervenissent. Cur ergo interrogat? Ut id quod dixi efficeret, ut erubescentes illos hæsitantesque firmaret, ac fiduciam inderet. Neque tantum sequendo, sed etiam per interrogationem illam desiderium suum exhibuerunt. Cum enim nihil ab illo edidicissent vel audissent, magistrum tamen vocant, sese discipulis annumerantes, et cur sequantur ostendentes, ut nempe utilia audirent. Animadverte, quæso, illorum prudentiam. Non dixerunt, Doctrina aut re quapiam necessaria nos imbue: sed quid dicunt? *Ubi manes?* Nam quiete, ut jam dixi, ipsum alloqui, audire et discere cupiebant. Ideo nec differunt, nec dicunt, Die crastino veniemus, et te publice loquentem audiemus: sed magnum audiendi studium præ se ferunt, quod ne quidem instante hora recedant; nam sol ad occasum vergebat: *Erat* quippe *hora circiter decima,* inquit. Ideo Christus domum non docet, non locum, sed ut sequantur magis allicit, ostendens se illos in suos accepisse. Ideoque non quid simile dicit: Intempestivum esset vos nunc domum ingredi, audietis cras quod voletis, nunc domum abite; sed quasi amicos ex diuturna consuetudine ipsos alloquitur. Cur ergo alibi dicit: *Filius hominis non habet ubi caput reclinet;* hic ve-

Hæc cum quadam exceptione intelligenda sunt.

Luc. 9. 58.

φὸς ἤδη [c] προκατεβάλλετο. Στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ ἰδὼν αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς· Τί ζητεῖτε; Ἐντεῦθεν παιδευόμεθα, ὅτι οὐ φθάνει τὰς βουλήσεις ἡμῶν ὁ Θεὸς ταῖς δωρεαῖς· ἀλλ' ὅταν ἡμεῖς ἀρξώμεθα, ὅταν τὸ θέλειν παράσχωμεν, τότε καὶ αὐτὸς πολλὰς δίδωσιν ἡμῖν τῆς σωτηρίας τὰς ἀφορμάς. Τί ζητεῖτε; Τί τοῦτο; ὁ εἰδὼς [d] τὰς καρδίας τῶν ἀνθρώπων, ὁ τοῖς λογισμοῖς ἡμῶν ἐμβατεύων, οὗτος ἐρωτᾷ; Ἀλλ' οὐχ ἵνα μάθῃ, (πῶς γάρ;) ἀλλ' ἵνα διὰ τῆς ἐρωτήσεως μᾶλλον αὐτοὺς οἰκειώσηται, καὶ πλείονος μεταδῷ τῆς παρ-
E ῥησίας, καὶ δείξῃ τῆς ἀκροάσεως ὄντας ἀξίους. Εἰκὸς γὰρ ἦν ἐρυθριᾷν καὶ δεδοικέναι, ἅτε ἀγνῶτας ὄντας, καὶ τοιαῦτα περὶ αὐτοῦ τοῦ διδασκάλου μαρτυροῦντος
108 ἀκηκοότας. Ταῦτ' οὖν ἅπαντα λύων, τὴν αἰδῶ, τὸν
A φόβον, ἐρωτᾷ, καὶ οὐκ εἴασε σιγῇ μέχρι τῆς οἰκίας ἐλθεῖν· καίτοι τὸ αὐτὸ ἂν ἐγένετο, καὶ εἰ μὴ ἠρώτησε. Παρέμειναν γὰρ ἂν ἀκολουθοῦντες αὐτῷ, καὶ κατὰ πόδας βαδίζοντες ἐπέστησαν τῇ οἰκίᾳ. Τίνος οὖν ἕνεκεν ἐρωτᾷ; Τοῦτο ὅπερ εἶπον κατασκευάζων, καταπραΰνων τε αὐτοῖς τὸν λογισμὸν ἐρυθριῶντα, ἔτι καὶ ἀγωνιῶντα, καὶ παρέχων θαῤῥεῖν. Οὐ διὰ τῆς ἀκολουθήσεως δὲ μόνον τὸν πόθον, ἀλλὰ καὶ διὰ τῆς ἐρωτήσεως ἐφανέρωσαν. Οὐδὲ γὰρ οὐδέπω μαθόντες παρ' αὐτοῦ οὐδὲ ἀκούσαντες, διδάσκαλον αὐτὸν καλοῦσιν, εἰς τοὺς μαθητὰς εἰσωθοῦντες ἑαυτοὺς, καὶ τὴν αἰτίαν δεικνύντες, δι' ἣν ἠκολούθουν, ὥς τι τῶν χρησίμων ἀκουσόμενοι. Θέα δέ μοι καὶ τὴν σύνεσιν. Οὐκ εἶπον, δίδαξον ἡμᾶς περὶ δογμάτων ἤ τινος ἑτέ-
B ρου τῶν ἀναγκαίων· ἀλλὰ τί; Ποῦ μένεις; Μετὰ γὰρ ἡσυχίας, ὅπερ ἔμπροσθεν ἔφην, καὶ εἰπεῖν τι πρὸς αὐτὸν, καὶ ἀκοῦσαί τι παρ' αὐτοῦ, καὶ μαθεῖν ἤθελον. Διόπερ οὐδὲ ἀνεβάλοντο, οὐδὲ εἶπον· ἥξομεν πάντως αὔριον, καὶ ἀκουσόμεθα διαλεγομένου σου δημοσίᾳ· ἀλλὰ τὴν πολλὴν σπουδὴν ἣν εἶχον περὶ τὴν ἀκρόασιν ἐπιδείκνυνται, * τῷ μηδὲ ὑπὸ τῆς ὥρας ἀποτραπῆναι. Καὶ γὰρ ἔτυχε λοιπὸν πρὸς δυσμὰς ὁ ἥλιος ὤν· Ὥρα γὰρ ἦν ὡς δεκάτη, φησί. Διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐ λέγει τὰ σημεῖα τῆς οἰκίας, οὐδὲ τὸν τόπον, ἀλλ' ἐπισπᾶται πλέον αὐτοὺς πρὸς τὴν ἀκολούθησιν, δεικνὺς ὅτι αὐτοὺς ἀπεδέξατο. Καὶ διὰ τοῦτο οὐδὲ αὐτὸς τοιοῦτόν τι εἶπεν· ἄκαιρόν ἐστιν εἰς οἰκίαν
C νῦν ὑμᾶς εἰσελθεῖν, ἀκούσεσθε αὔριον εἴ τι βούλεσθε, ἀναχωρήσατε [a] οἴκαδε νῦν· ἀλλ' ὡς πρὸς φίλους καὶ πολὺν αὐτῷ συγγεγονότας χρόνον, οὕτω διαλέγεται. Πῶς οὖν ἀλλαχοῦ φησιν· Ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου

[c] Morel. προκαταβαλὼν ἦν.

[d] Savil. τὴν καρδίαν.

* τῷ μηδὲ ὑπὸ τῆς ὥρας ἀποτραπῆναι. Post hæc verba multa legit Fr. Aretinus, quæ in nullo exemplari Græco habentur; vertit enim: *Ne horam quidem dimittentes.* [*Et animadverte animi ardorem. O memorabilem illorum sapientiam, o diligentiam, o in magistrum fidem!*] *Etenim jam sol.* Quæ vero clauduntur uncinis nusquam exstant in Græcis editis et manuscriptis.

[a] Savil. οἴκαδε νῦν· ἀλλ'. Morel. οἴκαδε τέως· ἀλλ'.

οὐκ ἔχει ποῦ τὴν κεφαλὴν [b] κλίνῃ· ἐνταῦθα δὲ λέγει, Ἔρχεσθε καὶ ἴδετε ποῦ μένω; Ὅτι τὸ, Οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ, δηλωτικόν ἐστι τοῦ μηδὲ ἴδιον καταγώγιον κεκτῆσθαι, οὐχ ὅτι ἐν οἰκίᾳ οὐ κατέμενε· καὶ γὰρ καὶ ἡ παραβολὴ τοῦτο βούλεται. Ὅτι μὲν οὖν παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην, εἶπεν ὁ εὐαγγελιστής· τίνος δὲ ἕνεκεν, οὐκ ἔτι προσέθηκεν, ὡς δήλου τῆς αἰτίας οὔσης. Οὐδὲ γὰρ ἑτέρου τινὸς ἕνεκεν οὔτε αὐτῷ ἠκολούθησαν, οὔτε ὁ Χριστὸς αὐτοὺς ἐπεσπάσατο, ἀλλ' ἢ διὰ τὴν διδασκαλίαν· ἧς οὕτω δαψιλῶς καὶ προθύμως ἀπέλαυσαν, καὶ ἐν νυκτὶ μιᾷ, ὡς εὐθέως θατέρους καὶ [c] ἐφ' ἑτέρων θήραν ἐλθεῖν.

Οὐκοῦν καὶ ἡμεῖς ἐντεῦθεν διδαχθῶμεν πάντα πάρεργα τίθεσθαι τῆς θείας ἀκροάσεως, καὶ μηδένα καιρὸν ἄκαιρον εἶναι νομίζειν, ἀλλὰ κἂν εἰς οἰκίαν ἀλλοτρίαν ἀπελθεῖν δέῃ, κἂν γνώριμον ἀνδράσι γενέσθαι μεγάλοις ἀγνῶτα ὄντα, κἂν ἀωρὶ τῆς ἡμέρας, κἂν ὁποιῳδήποτε καιρῷ, μηδέποτε ταύτης ἀμελεῖν τῆς ἐμπορίας. Τροφὴ μὲν οὖν καὶ λουτρὰ καὶ δεῖπνα, καὶ E
τὰ ἄλλα τὰ βιωτικὰ, καιρὸν ἐχέτω τὸν ὡρισμένον· διδασκαλία δὲ περὶ φιλοσοφίας τῆς ἄνω, μηδεμίαν ἀφωρισμένην ὥραν ἐχέτω, ἀλλ' ἅπας αὐτῆς ἔστω ὁ καιρός. Εὐκαίρως γὰρ, φησὶν, ἀκαίρως ἔλεγξον, ἐπι- 109
τίμησον, παρακάλεσον. [a] Καὶ ὁ προφήτης δέ φησιν, A
Ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός· καὶ τοῖς Ἰουδαίοις δὲ ὁ Μωϋσῆς διαπαντὸς τοῦτο ποιεῖν ἐκέλευε. Τὰ μὲν γὰρ βιωτικὰ, βαλανεῖα λέγω καὶ δεῖπνα, εἰ καὶ ἀναγκαῖα, ὅμως συνεχῶς γινόμενα τὸ σῶμα ἐξίτηλον ἐργάζεται· ἡ δὲ τῆς ψυχῆς διδασκαλία, ὅσωπερ ἂν ἐπιτείνηται, τοσούτῳ τὴν δεχομένην ἰσχυροτέραν ποιεῖ ψυχήν. Νῦν δὲ λήροις μὲν καὶ φλυαρίαις ἀνονήτοις πάντα καιρὸν ἀφορίζομεν, [b] καὶ τὸν ὑπὸ τὴν ἕω, καὶ τὸν περὶ δείλης καὶ μεσημβρίαν, καὶ ἑσπέραν δὲ αὐτὴν συνεδρεύομεν εἰκῇ, καὶ τόπους εἰς τοῦτο ἀπετάξαμεν· τῶν δὲ θείων δογμάτων ἅπαξ ἢ B
δὶς τῆς ἑβδομάδος ἀκούοντες, ναυτιῶμεν, διακορεῖς γινόμεθα. Τί οὖν τὸ αἴτιον; Κακῶς διακείμεθα τὴν ψυχήν. Τὸ ἐπιθυμητικὸν αὐτῆς τὸ περὶ ταῦτα καὶ ὀρεκτικὸν ἐξελύσαμεν ἅπαν. Διὰ τοῦτο οὐκ ἔῤῥωται πρὸς τὴν τῆς πνευματικῆς τροφῆς ὄρεξιν. Μέγα δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων ἀῤῥωστίας τεκμήριον, τὸ μὴ πεινῆν, μηδὲ διψῆν, ἀλλὰ δυσαρέστως πρὸς ἀμφότερα ἔχειν. Εἰ δὲ ἐπὶ σωμάτων τοῦτο συμβαῖνον, νοσήματος χαλεποῦ τεκμήριον καὶ ἀῤῥωστίας ποιητικόν· πολλῷ μᾶλλον ἐπὶ τῆς ψυχῆς. Πῶς οὖν αὐτὴν ἀναπεπτωκυῖαν καὶ ἐκλελυμένην ἀναῤῥῶσαι δυνησό-

ro, 39. *Venite et videte ubi maneam?* Quoniam illud, ***Non habet ubi caput reclinet***, significat illum proprium sibi diversorium non habuisse, non quod in domo quapiam non maneret : id enim parabola significat. Evangelista porro dicit, ipsos die illa cum eo mansisse : cur autem ita factum sit, non addidit, quod manifesta res esset. Neque enim alia de causa sequuti sunt eum, vel Christus accivit eos, quam ut doctrinam acciperent; quam tam copiose et cum tanto studio una nocte perceperunt, ut mox uterque ad alios advocandos properaret.

4. Hinc nos quoque discamus omnia divinæ doctrinæ postponere, nullumque tempus non opportunum æstimare; sed etsi in alienam domum ingredi oporteat, etiamsi ignotum homines proceres ignotos adire, etiamsi intempestive et quovis tempore, nunquam hoc commercium esse negligendum. Cibus ergo, balnea, cœnæ, aliaque ad vitam pertinentia, suum tempus habeant : doctrina vero supernæ philosophiæ nullam habeat definitam horam, sed omne tempus ipsi proprium esto. *Opportune*, inquit, *importune argue, obsecra, increpa*. Propheta quoque ait : ***In lege ejus meditabitur die ac nocte***: Moyses quoque Judæis hoc semper facere præcipiebat. Nam ea quæ ad vitam spectant, balnea dico et cœnæ, etsi necessaria sint, si frequentius adhibeantur, corpus extenuant : animæ autem doctrina quanto magis inculcatur, tanto fortiorem reddit animam. Nunc autem nugis inutiliter omne tempus consumimus, auroram, matutinum, meridiem, vesperam in constituto loco vane impendimus; divina autem dogmata si semel aut bis per hebdomadam audiamus, torpescimus, nauseamus. Quare? Quia animo prave affecti sumus. Appetitum studiumque ejus circa istæc omne dissolvimus; ideoque spiritualem escam non appetimus. Magnum hoc præter alia est ægritudinis indicium, cum non esurimus, nec sitimus, sed utrumque nobis fastidiosum est. Si autem hoc, cum in corpore accidit, gravis morbi indicium et causa est : multo magis in anima. Quomodo igitur illam lapsam et dissolutam erigere poterimus? quibus operibus? quibus verbis? Si divinos sermones, propheticos, apostolicos, evangelicos aliosque omnes tractemus. Tunc

Doctrina Christi omnia postponenda.

2. Tim. 4. 2.

Psal. 1. 2.

Cibi animæ qui sint.

[b] Alii κλίνῃ, alii κλίναι. [Eadem varietas infra, p. 111, A.]

[c] Savil. ἐφ' ἑτέρων θήραν. Morel. θύραν.

[a] Savil. καὶ ὁ προφήτης δέ φησιν, ὅτι ἐν τῷ. Secus Morel.

[b] καὶ hoc et sequens deest in Morel.

enim sciemus longe melius esse his uti cibis, quam impuris aliis; sic enim licet intempestivas nugas et confabulationes vocare. Quid enim, quæso, melius, de forensibus, de judicialibus, de militaribus rebus, an de cælestibus loqui, deque iis quæ post hanc vitam eveniunt? quid utilius, de vicino et ejus negotiis loqui, ac de alienis curiose perquirere, an de angelis, et de rebus quæ ad nostram vertuntur utilitatem, verba facere? Quæ enim vicini tui sunt, non tua; quæ ad cælos pertinent, tua sunt. Sed licet, inquies, ei qui semel hæc dixit, omnia implere. Quid vero de iis, quæ frustra et temere disputatis, non idipsum cogitatis, sed totam in illis vitam impendentes, nullum disputationis finem invenitis? Necdum dico his longe graviora. Nam qui modestiores sunt, his de rebus mutuo fabulantur, segniores autem ignavioresque, mimos, saltatores, aurigas in sermone semper versant, auditum deturpantes, animam labefactantes; naturamque hujusmodi narrationibus præcipitem agunt, et in omne flagitii genus animum inducunt. Nam simulatque saltatoris nomen prolatum fuit, statim in anima depingitur ejus facies, coma, mollis vestis, illeque totus his longe mollior. Alius rursum flammam excitat et fovet, dum meretricem in confabulationem inducit, ejusque verba, habitum, oculos lascivos, mollem aspectum, cincinnos capillorum, fucatas pictasque genas. Annon quid humanum passi estis dum hæc narrarem? Sed ne pudeat vobis, ne erubescatis: naturæ namque necessitas id exigit, et sic anima afficitur pro ratione eorum quæ narrantur. Quod si me loquente, si in ecclesia stantes, si ab illis semoti rebus, aliquid humanum audientes patimini, cogita quo affectu
Contra theatra. sint ii qui in theatro sedent, licentia fruentes multa, extra hunc honestum venerandumque consessum, cum impudentia magna illa videntes et audientes. Et cur, dicet fortasse quispiam ex iis qui non adhibent animum, si naturæ necessitas sic animam afficit, illa relicta, nos accusas? Quia hæc audiendo emolliri, illud opus est naturæ: talia autem audire, non naturæ est, sed arbitrii peccatum. Quandoquidem cum qui se igni admoveat, uri necesse est; id nempe vult naturæ infirmitas: verum non natura nos igni et ustioni admovet: id enim ex perversa solum voluntate pendet. Hoc igitur amoveri volo et corrigi, ut ne

C μεθα; τί ποιοῦντες, φησὶ, καὶ τί λέγοντες; Ἁπτόμενοι τῶν λόγων τῶν θείων, προφητικῶν, ἀποστολικῶν, εὐαγγελικῶν, καὶ τῶν ἄλλων ἁπάντων. Τότε γὰρ εἰσόμεθα ὅτι πολλῷ βέλτιον ταῦτα σιτεῖσθαι, ἢ τὰς ἀκαθάρτους τροφάς· οὕτω γὰρ χρὴ τὰς ἀκαίρους φλυαρίας καὶ συνόδους καλεῖν. Τί γὰρ ἄμεινον, εἰπέ μοι, περὶ τῶν κατὰ τὴν ἀγορὰν, περὶ τῶν ἐν τοῖς δικαστηρίοις περὶ τῶν ἐν τῷ στρατοπέδῳ διαλέγεσθαι, ἢ περὶ τῶν ἐν οὐρανοῖς καὶ περὶ τῶν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; τί βέλτιον, περὶ τοῦ γείτονος λαλεῖν καὶ τῶν τοῦ γείτονος πραγμάτων, καὶ τὰ ἀλλότρια πολυπραγμονεῖν, ἢ τὰ τῶν ἀγγέλων καὶ τὰ ἡμῖν αὐτοῖς διαφέ-
D ροντα ἀναζητεῖν; Τὰ μὲν γὰρ τοῦ γείτονος, οὐ πάντως σά· τὰ δὲ τῶν οὐρανῶν, σά. Ἀλλ' ἔνεστι, φησὶν, ἅπαξ εἰπόντα ταῦτα πληρῶσαι τὸ πᾶν. Τί δὲ περὶ ὧν διαλέγεσθε μάτην καὶ εἰκῆ, οὐκ ἐννοεῖτε τοῦτο, ἀλλὰ πάντα τὸν βίον εἰς τοῦτο καταναλίσκοντες, τὴν ὑπόθεσιν τὴν περὶ [c] τούτων οὐδέποτε κατεδαπανήσατε; Καὶ οὔπω λέγω τὰ πολλῷ τούτων φορτικώτερα. Οἱ μὲν γὰρ ἐπιεικέστεροι ταῦτα πρὸς ἀλλήλους διαλέγονται· οἱ δὲ ῥαθυμότεροι καὶ μᾶλλον ἠμελημένοι, μίμους καὶ ὀρχηστὰς καὶ ἡνιόχους ἐν τοῖς αὐτῶν περιφέρουσι
E λόγοις, τὴν ἀκοὴν μολύνοντες, τὴν ψυχὴν διαφθείροντες, τὴν φύσιν ἐκβακχεύοντες τούτοις τοῖς διηγήμασιν, ἅπαν κακίας εἶδος εἰς τὴν ἑαυτῶν διάνοιαν διὰ ταύτης εἰσάγοντες τῆς διαλέξεως. Ἅμα γὰρ ἐφθέγξατο ἡ γλῶττα τοῦ ὀρχουμένου τὸ ὄνομα, καὶ εὐθέως ἀνετύπωσεν ἡ ψυχὴ τὴν ὄψιν, τὴν κόμην, τὴν ἐσθῆτα τὴν ἁπαλὴν, αὐτὸν ἐκεῖνον τούτων μαλακώτερον ὄντα.
110 Ἕτερος πάλιν ἑτέρωθεν ἀνεῤῥίπισε τὴν φλόγα, γυ-
A ναῖκα πόρνην εἰς τὴν διάλεξιν εἰσαγαγὼν, κἀκείνης τὰ ῥήματα, τὰ σχήματα, τῶν ὀμμάτων τὰς διαστροφὰς, τῆς ὄψεως τὸ ὑγρὸν, τῶν τριχῶν τὰς στρεβλώσεις, τῶν παρειῶν τὰ ἐπιτρίμματα, τὰς ὑπογραφάς. Ἆρα οὐκ ἐπάθετέ τι καὶ ἐμοῦ ταῦτα διηγουμένου; Ἀλλὰ μὴ αἰσχυνθῆτε, μηδὲ ἐρυθριάσητε· ἡ γὰρ τῆς φύσεως ἀνάγκη τοῦτο ἀπαιτεῖ, καὶ οὕτω διατίθησι τὴν ψυχὴν, ὡς ἂν ἡ τῶν ἀπαγγελλομένων δύναμις ἔχῃ. Εἰ δὲ ἐμοῦ φθεγγομένου, εἰ δὲ ἐν ἐκκλησίᾳ ἑστῶτες, εἰ δὲ ἐκείνων ἀπέχοντες ἐπάθετέ τι πρὸς τὴν ἀκρόασιν, ἐννόησον πῶς εἰκὸς διακεῖσθαι τοὺς ἐν αὐτῷ τῷ θεάτρῳ κα-
B θημένους, τοὺς ἄδειαν πολλὴν ἔχοντας, τοὺς ἐκτὸς τοῦ σεμνοῦ τούτου καὶ φρικτοῦ συνεδρίου, τοὺς μετὰ πολλῆς ἀναισχυντίας καὶ ὁρῶντας ἐκεῖνα καὶ ἀκούοντας. Καὶ τί δήποτε, * φήσειεν ἂν ἴσως τις τῶν οὐ προσεχόντων, εἰ τῆς φύσεως ἡ ἀνάγκη τὴν ψυχὴν οὕτω διατίθησιν, ἐκείνην ἀφεὶς, [a] ἡμῖν ἐγκαλεῖς; Ὅτι τὸ μὲν, ἀκούοντα τοιαῦτα μαλάττεσθαι, τῆς φύσεως

[c] Sic Savil., Morel. τούτων οὔπω καὶ νῦν κατεδ.
* [φησὶ, ἴσως ἂν εἴποι τις Cod. 706, et similiter Savil.]
[a] Quidam ἡμῖν ἐγκαλοῖς.

τοιαῦτα ἀκούειν, οὐκ ἔτι τῆς φύσεως, προαιρέσεως ἁμάρτημα. Ἐπεὶ καὶ τὸν ὁμι- διαφθείρεσθαι δεῖ, καὶ τοῦτο ἡ τῆς φύ- βούλεται· ἀλλ' οὐκ ἔτι καὶ πρὸς τὸ πῦρ ἐκεῖθεν ἄγει διαφθορὰν ἡ φύσις· τοῦτο τὰ προαίρεσιν μόνης ἂν εἴη διαστροφῆς. καλεῖν ἀξιῶ καὶ διορθῶσαι, ὥστε μὴ ἑκόν- C κατακρημνίζειν, μηδὲ πρὸς τὰ βάραθρα ὠθεῖν, μηδὲ αὐτομάτως τρέχειν ἐπὶ τὴν πυρὰν καὶ τῇ τῷ διαβόλῳ κατεσκευασμένῃ ποιήσωμεν ὑπευθύνους ἑαυτούς. Γένοιτο δὲ ἡμᾶς καὶ ταύτης κἀκείνης ἀπαλλαγέντας, τοῦ Ἀβραὰμ χωρῆσαι τοὺς κόλπους, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

sponte vos præcipites detis, neque ad profundum nequitiæ vos impellatis, vel sponte curratis ad rogum; ne flammæ diabolo paratæ nos obnoxios reddamus. Utinam vero nos omnes ab hac et illa flamma erepti, in sinum Abrahæ recipiamur, gratia et benignitate Domini nostri Jesu Christi, C quicum Patri gloria, simulque sancto Spiritui, in sæcula sæculorum. Amen.

ΟΜΙΛΙΑ ιθ'. D

HOMILIA XIX.

Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον Χριστός· καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν.

41. Invenit hic primus fratrem suum Simonem, et dicit ei : Invenimus Messiam, quod est interpretatum Christus : 42. et adduxit illum ad Jesum.

α'. Ὁ Θεὸς παρὰ τὴν ἀρχὴν ποιήσας τὸν ἄνθρωπον, οὐκ εἴασεν εἶναι μόνον, ἀλλ' ἔδωκεν αὐτῷ βοηθὸν τὴν γυναῖκα, καὶ συνοικεῖν ἐποίησεν, εἰδὼς ἀπὸ τῆς συσκηνίας ταύτης πολὺ τὸ κέρδος ἐσόμενον. Τί γὰρ εἰ μὴ E κατὰ τὸ δέον ἐχρήσατο τῇ εὐεργεσίᾳ ταύτῃ ἡ γυνή; Ἀλλ' εἴ τις τοῦ πράγματος αὐτοῦ τὴν φύσιν τις καταμάθοι, πολλὴν ἀπὸ τῆς συνοικήσεως ταύτης ὄψεται τὴν ὠφέλειαν ἐπὶ τῶν νοῦν ἐχόντων γινομένην. Οὐχ ἐπὶ γυναικὸς δὲ μόνον καὶ ἀνδρὸς, ἀλλὰ κἂν ἀδελφοὶ συνοικῶσι, καὶ αὐτοὶ τῆς εὐεργεσίας ἀπολαύσονται. Διὸ καὶ ὁ προφήτης ἔλεγε· Τί καλὸν ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Καὶ ὁ 111 Παῦλος παραινεῖ μὴ ἐγκαταλιπεῖν τὴν ἐπισυναγωγὴν A ἑαυτῶν. Καὶ γὰρ τοῦτό ἐστιν ᾧ τῶν θηρίων διεστήκαμεν. Διὰ τοῦτο καὶ πόλεις ἐδειμάμεθα, καὶ ἀγορὰς καὶ οἰκίας, ἵνα ὁμοῦ καὶ μετ' ἀλλήλων ὦμεν, οὐ κατὰ τὴν οἴκησιν μόνον, ἀλλὰ καὶ κατὰ τὸν τῆς ἀγάπης σύνδεσμον. Ἐπειδὴ γὰρ ἐνδεὴς ἡμῖν ἡ φύσις παρὰ τοῦ πεποιηκότος ἐγένετο, καὶ οὐκ αὐτάρκης ἐστὶν ἑαυτῇ, συμφερόντως ᾠκονόμησεν ὁ Θεὸς τὴν ἐντεῦθεν ἔνδειαν ἐκ τῆς κατὰ τὴν σύνοδον παρ' ἀλλήλων ὠφελείας διορθωθῆναι. * Διὰ τοῦτο γάμος

quid sibi vult illa dilatio? Justus est, novit peccatorem; fortis est, potest sententiam opere complere: cur ergo cunctatur? *Deus judex justus, fortis et longanimis*. Explicat vero quid sibi velit illud, *Longanimis*: *Num inferens iram per singulos dies?* Modica est dictionum transpositio: *Num per singulos dies iram inferens?* Ut vero scias eum ideo differre, quod exspectet pœnitentiam tuam: *Nisi conversi fueritis*, inquit, *gladium suum vibrabit. Nisi conversi fueritis*. Ergo si convertamur, non statim plagam experimur. Vis Dei summam clementiam videre? *Gladium suum vibrabit*. Nondum dixit, Gladii acie utetur, sed, *Vibrabit*, ut gladii fulgorem aspiciens, plagam pœnitentia prævertas. Fulgore terret, non secat. Compescatur timor: plagam prævertat pœnitentia tua. Utque Judicis scopum prorsus cognoscas: *Arcum suum tetendit et paravit illum. Et in eo paravit vasa mortis*. Annon id sufficit ad terrorem? annon illum sermone descripsit, qui incorporeus est? *Arcum suum tetendit et paravit illum. Et in eo paravit vasa mortis: sagittas suas ardentibus effecit*. Hic ceu pictor quidam Judicem ob oculos posuit. Cogita mihi tensum arcum, paratas manus, alteram arcum pellentem, alteram chordam trahentem, sagittam vero extremis digitis a Judice detentam. Tensus est arcus, telum paratum, Judex expeditus. Ne arcum contemseris, quippe qui tensus sit: neque pœnitentiæ spem abjeceris; sagitta enim nondum emissa est. Cave item ne propter summam longanimitatem segnis evadas, neu te semper voluptatibus dedas. Ne dicas, Interim fruar cupiditate, interim utar juventute: veniet subinde pœnitentiæ tempus; cras pœnitentiam agam; senectutis tempore vitam componam. Vanæ sunt hujusmodi cogitationes; fœda illa tua cupiditatis consilia: malo consiliario uteris voluptate. Dicis, Hodie peccatum admittam, cras pœnitentiam agam. An dominus es diei crastinæ? quis tibi diei crastinæ sponsor? Si diligenter audias, neque totus hodiernus dies est tuus: ejus pars præteriit, pars superest: illa jam non tua est, hæc nondum tua. Ais: Fruar hodie voluptate, cras pœnitentiam agam. Quod habes voluptati, quod non tuum est, pœnitentiæ deputas? Meo potius consilio utere: hodiernam diem pœnitentiæ, peccato ne crastinam quidem deputa. Ideo pulchre divina Scriptura diversis nos modis a peccato revocat: *Hodie*, inquit, *si vocem ejus audieritis, nolite obdurare corda vestra, sicut in exacerbatione*: et, *Adhortamini vosmetipsos donec hodie nominatur*. Nam hoc quoque mala sæpe diabolus arte facit. Cum animum videt in peccatorum sensum venire, ac supplicii finem cogitare, tales immittit cogitationes: Junior sum, erit pœnitentiæ tempus, interim hodie utar præsentibus, interim hanc obtinebo litem, illum talem ulciscar, hac cupiditate fruar, ac demum pœnitentiam agam. Venit iterum dies crastina, easdemque tibi immit-

Ibid. (beside line 3)
Ibid. v. 13. (beside line 9)
Ibid. v. 14. (beside line 22)
Psal. 94. 8. (beside line 53)
Hebr. 3. 13. (beside line 56)

τῆς ἀναβολῆς τῶν ἁμαρτημάτων τὸ αἴτιον; τίς ἡ τῆς τιμωρίας ἀναβολή; Δίκαιός ἐστιν, οἶδε τὸν ἁμαρτάνοντα· ἰσχυρός ἐστιν, ἐπαγαγεῖν δύναται τῇ ψήφῳ τὸ τέλος. Τίς οὖν ἡ τῆς ἀναβολῆς αἰτία; Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος. Καὶ ἑρμηνεύει τί τὸ, Μακρόθυμος· Μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν; Μικρόν ἐστι κατὰ τὴν λέξιν ὑπερβατόν· Μὴ καθ' ἑκάστην ἡμέραν ὀργὴν ἐπάγων; Καὶ ἵνα γνῷς ὅτιπερ ἡ ἀναβολὴ τῆς τιμωρίας ἀναμένει σου τὴν μετάνοιαν, Ἐὰν μὴ ἐπιστραφῆτε, φησὶ, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει. Ἐὰν μὴ ἐπιστραφῆτε. Οὐκοῦν ἐὰν ἐπιστρέψωμεν, οὐκ εὐθὺς τῆς τομῆς πεῖ-
E ραν δεχόμεθα. Καὶ βούλει τῆς φιλανθρωπίας ἰδεῖν τὴν ὑπερβολήν; Τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει. Οὔπω εἶπεν, ὅτι τῇ ῥομφαίᾳ κατὰ στόμα χρήσεται, ἀλλὰ, Στιλβώσει· ἵνα τὴν λαμπηδόνα τῆς ῥομφαίας θεασάμενος, προλάβῃς τῇ μετανοίᾳ τὴν τομὴν τῆς ῥομφαίας. Τῇ στιλβώσει φοβεῖ, καὶ οὐ τέμνει. Ὁ φόβος συστελλέτω, τὴν τομὴν φθανέτω σου ἡ μετάνοια. Καὶ ἵνα διὰ πάντων γνῷς τοῦ κριτοῦ τὸν σκοπὸν, Τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. Οὐχ ἱκανὸν φοβῆσαι τὸ σχῆμα; οὐ διέγραψε τῷ λόγῳ τὸν ἀσώματον; Τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου· τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. Ἐνταῦθα καθάπερ τις γραφεὺς ὑπ' ὄψιν ἤγαγε τὸν κριτήν. Ἐννόησόν μοι τὸ τόξον τεταμένον, τὰς χεῖρας διεσκευασμένας· τὴν μὲν ὠθουμένην τὸ τόξον, τὴν δὲ ἑτέραν ἐπισπωμένην τὴν
289 νευράν· τὸ βέλος ἄκροις δακτύλοις παρὰ τοῦ κριτοῦ
A κατεχόμενον. Διατέταται τὸ τόξον, τὸ βέλος ἕτοιμον, ὁ κριτὴς εὐτρεπής. Μὴ καταφρονήσῃς τοῦ τόξου· τέταται γάρ· μήτε ἀπογνῷς μετανοίας· τὸ γὰρ βέλος οὔπω βέβληται. Ἀλλὰ μὴ χαυνωθῇς διὰ τὴν ὑπερβολὴν τῆς μακροθυμίας, μηδὲ βουληθῇς ἀεὶ παρατείνειν σαυτὸν ταῖς ἡδοναῖς. Μὴ εἴπῃς, τέως ἀπολαύσω τῆς ἐπιθυμίας, τέως χρήσομαι τῇ νεότητι, εἶτα μετ' ὀλίγον μετανοίας καιρὸς, αὔριον μετανοήσω, περὶ τὸ γῆρας ἀσφαλίσομαι τὴν ζωήν. Μάταιοί σου οἱ τοιοῦτοι διαλογισμοὶ, σαθρά σου τὰ τῆς ἐπιθυμίας βουλεύματα, πονηρῷ κέχρησαι συμβούλῳ τῇ ἡδονῇ. Λέγεις, ποιήσω τὴν ἁμαρτίαν σήμερον, καὶ αὔριον μετανοήσω. Κύριος εἶ τῆς αὔριον; τίς σοι τῆς αὔριον ἐστιν ἐγγυητής; Ἐὰν ἀκριβῶς ἀκούσῃς, οὐδὲ ἡ σήμερον ὅλη σή· καὶ τῆς σήμερον τὸ μὲν παρελήλυθε, τὸ δὲ μέλλει· τὸ μὲν οὐκ ἔστι σὸν, τὸ δὲ οὔπω σόν. Λέγεις, σήμερον ποιήσω τὴν ἡδονὴν, καὶ μετανοήσω τῇ αὔριον. Ὃ ἔχεις, τῇ ἡδο-
B νῇ, τὸ ἀλλότριον, τῇ μετανοίᾳ; Ἐμοὶ μᾶλλον χρῆσαι συμβούλῳ, τὸ σήμερον τῇ μετανοίᾳ, τῇ δὲ ἁμαρτίᾳ μηδὲ τὸ αὔριον. Διὰ τοῦτο καλῶς ὁ θεῖος λόγος διαφόρως ἡμᾶς εἰς ἀνάκλησιν τῆς ἁμαρτίας ἀνακαλούμενος, Σήμερον, φησὶν, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ· καὶ, Παρακαλεῖτε ἀλλήλους, ἄχρις οὗ τὸ σήμερον καλεῖται. Ποιεῖ γὰρ καὶ τοῦτο πολλάκις ὁ διάβολος κακοτέχνως. Ὅταν ἴδῃ ψυχὴν ἀρξαμένην αἰσθάνεσθαι τῶν ἁμαρτημάτων, ἀρξαμένην νοεῖν τῆς τιμωρίας τὸ τέλος, τοιούτους ἐμβάλλει λογισμούς· νεώτερός εἰμι, καιρὸν ἔχω μετανοίας, τέως

σήμερον παρακατάσχω τὴν χρείαν, τέως τῆς δίκης [a] περιγένωμαι· τὸν δεῖνα ἀμύνωμαι, τῆσδε τῆς ἐπιθυμίας ἐκτελέσω τὴν ἡδονὴν, καὶ φθάσω μετανοῆσαι. Ἔρχεται πάλιν ἡ αὔριον, πάλιν σε τοῖς αὐτοῖς διακα- C τέχει διαβολικοῖς διαλογισμοῖς· καὶ πάλιν τὸ μὲν μέλλον ἐπιδείκνυσι, καὶ τὸ παρὸν κατασπᾷ· καὶ οὕτω καθ' ἑκάστην ἡμέραν τὸ μὲν σήμερον ἐν ταῖς ἐπιθυμίαις κατέχων, τὸ δὲ αὔριον ἐν ταῖς ἐλπίσι τῆς μετανοίας ὑποδεικνὺς, παραναλίσκει σου τὸν βίον καθ' ἡμέραν ἁμαρτάνοντος.

Ἀλλὰ σὺ στράτευσαι κατὰ τῆς ἡδονῆς· ἄκουσον τοῦ Κυρίου κράζοντος· Σήμερον ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου, ἕως οὗ εἶ μετ' αὐτοῦ ἐν τῇ ὁδῷ. Καλὸν μὲν οὖν καὶ καθάπαξ καὶ πρὸς τοὺς φιλοπραγμοσύνης ἐρῶντας, ἵνα μηδὲ δίκας φιλονεικότερον ἐγγυμνάζωσιν. Βέλτιον γὰρ καὶ ἐν δίκαις προλαβεῖν φιλικαῖς διαλύσεσι τὸ τῆς δίκης ἄδηλον τέλος, ἢ ταῖς ἐλπίσι τῆς νίκης ἐπερειδομένους ἀδήλῳ καταπιστεῦσαι πελάγει. Ἀναγινώσκεις σου τα γραμματεῖα, θαρσεῖς ταῖς ἐκβάσεσιν· ὁ συνή- D γορος κοιλάνας τὴν χεῖρα τῷ λήμματι ἐγγυᾶται τὴν νίκην, ἵνα περισφίγγηται μισθαρνίᾳ. Ἐνίοτε δὲ καὶ δικαστὴς προδιεφθαρμένος προεπαγγέλλεταί σοι τῆς δίκης τὸ τέλος. Ἀβεβαίοις θαρσεῖς ἐλπίσιν. Εἰ γὰρ σὺ προλαβὼν προδιέφθειρας τὸν δικάζοντα, ἀλλοτρίοις λήμμασι θύραν ἀνοίξας, νόμιζε τὰ αὐτὰ καὶ τὸν διάδικον μελετᾷν· καὶ πολλάκις ἠρέμα σοι τὰ τῆς δίκης εὔδια πλέοντι πείθουσι χαλάσαι περὶ τὸν πλοῦν τὸ ἱστίον. Οὐδέποτε εἶδες θάλασσαν πρὸς αἰγιαλὸν γαλήνην ἔχουσαν, καὶ ἐν τῷ βυθῷ κυμαινομένην; Πόσοι μετ' εὐδίας καὶ γαλήνης ἀναπλεύσαντες εἰς τὸ μέσον τοῦ πελάγους, αἰφνιδίοις χειμῶσι χρησάμενοι καὶ κύμασιν ἐναυάγησαν; Τοιαῦτα τῆς δίκης τὰ τέλη· ἐνίοτε τὰ προοίμια μετὰ τῶν ἐλπίδων, καὶ τὸ τέλος ἀντίστροφον τὴν ἔκβασιν τῆς ἐλπίδος ἀπενεγκάμενον. E Καλὸν μὲν οὖν, ὅπερ εἶπον, καὶ τὰς χρηματικὰς δίκας φθάνειν διαλύσεσι φιλικαῖς, ἵνα πρὸς τῷ τέλει τῆς δίκης κυβερνήσῃς τὸν φίλον· ἐγκληματικὰς δὲ μηδὲ διαλύεσθαι γένοιτο, ἀλλὰ μηδὲ τὴν ἀρχὴν ἐγγυμνάζειν· πλὴν ἀλλὰ κἀκεῖ βελτίων ἡ φειδὼ τοῦ θυμοῦ. Ὅμως οὐ δοκεῖ μοι μόνον περὶ χρημάτων ὁ λόγος ἔχειν τὸ αἴτιον. Ἴσθι, φησὶν, εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ. Αὕτη ἡ προσθήκη δίδωσί μοί τι καὶ μεῖζον ἐννοεῖν. Εἰ γὰρ περὶ χρηματικῶν δικῶν μόνον ὁ λόγος, ἢ τῶν ἐγκλημάτων τῶν ἀναισθήτων ἔλεγε· διὰ τί προσετίθει, Ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ; τίς γὰρ ἀντίδικος ἀντιδίκῳ συνοδεύειν 290 A καταδέχεται; τίς κοινωνεῖ τῆς ὁδοιπορίας, μὴ κοινωνῶν τῆς γνώμης; οὐ δέδοικε καὶ γραμμάτων κλοπὴν, καὶ μαρτύρων διαφθορὰν, καὶ τὰς κατὰ τὰς λεωφόρους ἐπιβουλάς; Οὐκοῦν ὀφείλομεν εὑρεῖν ἀντίδικον τὸν ἀεὶ συνοδεύοντα, οὗ τὴν συνοδείαν καὶ σφόδρα φυλαττόμενοι φυγεῖν οὐ δυνάμεθα, καὶ τοῦτον ἐννοῆσαι τὸν ἀντίδικον, ᾧ προσήκει μετ' εὐνοίας προσφέρεσθαι. Τίς οὖν ἀκριβής ἐστιν ἀντίδικος; Ἐὰν ἀκριβῶς ἐξετάσῃς, τὸ σῶμα τῆς ψυχῆς· οὗτος ἀντίδικός ἐστι τοῦ ἐν σοὶ πνεύματος. Καὶ ἵνα μὴ νοήσῃς ἐμὸν εἶναι τὸν λόγον, Παῦλος κυρωσάτω τὸ ῥηθέν· Ἡ σὰρξ ἐπιθυ-

tit cogitationes, iisdem te intercipit diabolicis ratiociniis : futurum ostendit, præsens subtrahit : atque ita quotidie, in præsenti te voluptatibus C detinens, in crastino pœnitentiæ spem ostendens, vitam tuam quotidianis in peccatis consumit.

2. Tu vero contra voluptatem milita : audi Dominum clamantem : *Esto hodie benevolus adversario tuo, quamdiu es in via cum eo.* Expe- Matth. 5 25.
dit sane tum omnibus, tum iis qui negotiis dediti sunt ut ne contentiosius lites exerceant. Præstat siquidem te in litibus incertum exitum amico fœdere prævertere, quam spe nixum victoriæ incerto mari confidere. Legis syngraphas tuas, fau- D stum speras exitum : advocatus lucro manum porrigens victoriam promittit, ut mercedem reportet. Interdum etiam judex corruptus exitum causæ pollicetur. Incerta spe niteris. Nam si tu antevertens, judicem corrupisti, alienisque muneribus aperuisti januam; cogites velim adversarium tuum idipsum meditari, sæpeque tibi tranquillo rerum tuarum cursu naviganti suaserunt ut vela demitteres. Numquamne vidisti mare in littore tranquillum, in alto fluctibus agitari? Quot tranquillo mari navigantes, in alto pelago fluctibus repentinisque tempestatibus excepti, naufragium fecerunt? Talis est hujus negotii finis. Interdum initia spem præ se ferunt, finis vero contrarium profert eventum. E E re igitur fuerit, ut dixi, pecuniarias lites amice componere, ut in negotii fine amicum tibi devincias : criminales autem non modo non componere, sed etiam ne intentare quidem liceat : sed in his etiam melius est veniæ, quam iræ locum dare. Verum hic non videtur mihi de re pecuniaria solum agi. *Esto*, inquit, *benevolus adversario tuo cito, dum es in via cum eo.* Hoc additamentum præbet mihi occasionem majus quidpiam cogitandi. Nam si de pecuniariis litibus solum ageretur, vel de criminalibus insensibilibusque; cur adderet, *Dum es in via cum eo?* quis adversarius cum adversario 290 iter instituat? quis se socium itineris dederit ei, A qui cum animo non consentit? non timet tabellas sibi furto auferri, testes corrumpi, insidias in via sibi parari? Invenire ergo debemus adversarium qui nos semper comitetur, cujus societatem, etsi admodum caveamus, effugere non possimus, et hunc cogitare adversarium, quicum nos benevole versari conveniat. Quis ergo est verus ille adversarius? Si diligenter quæras, corpus animæ : hic est adversarius ejus qui in te est, spiritus. Ne vero putes meum esse sermonem, Paulus confirmet id quod dictum est : *Caro concupiscit ad-* Gal. 5 17.

[a] Combefis. περιγένωμαι. τῆσδε τῆς ἐπιθυμίας ἀπολαύσω, τῆσδε τῆς ἡδονῆς, καὶ φθάσωμαι μετανοῆσαι.

τὰς εὐνοίας ἐπὶ τὰ θηρία μᾶλλον ἢ τοὺς ὁμοφύλους τρέποντες. Καὶ οὐ ταλανίζεις τὸν ἄθλιον, ὃς ἵνα πληρώσῃ τὴν γαστέρα, εἰς θηρίων αὐτομολεῖ γαστέρα· καὶ ἵνα πληρώσῃ τῆς γαστριμαργίας τὴν νόσον, ἡδέως ταῖς 291 A κοιλίαις τῶν θηρίων ἐνθάπτεται. Ἐκεῖνος ἀκόλαστον ἔχει γαστέρα· σὺ μὴ λάβῃς ἀκόλαστον ὀφθαλμόν. Ἄλλος γελωτοποιὸς εἴσεισιν, εἰς αἰσχύνην ἑαυτοῦ διαπλάσασθαι μέλη, γέλωτι μισθώσας τὴν κεφαλὴν, αἰσχυνόμενος ἐὰν μὴ δημοσίᾳ ῥαπίζηται, καὶ τοῖς κτύποις * τῶν πυλῶν προευτρεπίζων τὰς παρειὰς, καὶ ξυρῷ τὰς τρίχας περιαιρῶν, ἵνα μηδὲ θρὶξ μεσιτεύηται ταῖς ὕβρεσι. Ἄλλος ὀρχήσεσι γυναικείαις θρυπτόμενος, καὶ τὰ παρὰ φύσιν μιμούμενος, καὶ λυπούμενος ὅτι μὴ γυνὴ παρὰ τῶν γονέων ἐτέχθη, καὶ τὴν τῆς φύσεως μεταβολὴν φιλοτιμίαν τιθέμενος· καὶ ταῦτα πάντα ποιῶν γαστρὸς ἕνεκα καὶ κέρδους, καὶ τοῖς αἰσχροῖς φιλοτιμούμενος· περὶ ὧν καλὸν εἰπεῖν τὴν τοῦ Παύλου φωνήν· Ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. Μὴ πρὸς ταῦτα συντρέχετε, μὴ τοὺς πόδας ὀξεῖς ἐπὶ τὰ τοιαῦτα βήματα B τρέπετε· ἀλλὰ μηδὲ τοῖς συμποσίοις τὰς ἀσέμνους ἡδονὰς ἐπεισάγετε. Ἐνίοτε λέγεις· παραιτοῦμαι τὸ θέατρον, οὐκ ἀνέρχομαι τοὺς βαθμούς· ἔστι συμπόσιον καὶ καιρὸς εὐφροσύνης· καὶ ἐκεῖ τὰ ἄσεμνα τῶν θεάτρων τελεῖτε θεάματα. Τί οὖν ὠφελεῖς τὸ θέατρον βδελυττόμενος; Μὴ γὰρ τοὺς λίθους βδελυττόμεθα; μὴ γὰρ οἱ λίθοι τῶν θεάτρων εἰσὶ καταχεκριμένοι; Ἡ τῶν πραττομένων αἰσχρότης, ἡ τῶν ἀσέμνων θεαμάτων κακία, ἡ διὰ τῶν αἰσθητηρίων τῶν ὀφθαλμῶν, καὶ τῆς ἀκοῆς, ὥσπερ διά τινων θυρίδων, τὸν λῃστὴν ἐπεισάγουσα. Ὅταν οὖν παραιτήσῃ τὸ θέατρον, καὶ παρὰ τὴν σεαυτοῦ τράπεζαν τὰς τῶν θεαμάτων ἐπεισάγῃς αἰσχύνας, λέληθας τὸν οἶκον σεαυτοῦ ποιήσας θέατρον. Οὐδὲ γὰρ τοῦ θεάτρου μισῶ τὸν τόπον, ἀλλὰ δέδια τῶν συνιόντων τὸν τρόπον.

C Ἵνα δὲ γνῷς, ὅτι καὶ παρὰ συμπόσια θεάματα πολλάκις ἄσεμνα καὶ βλαβερὰ ταῖς ψυχαῖς ἐπεισαγόμενα, κατακρίσεως αἴτια γίνεται, ὑπομνήσω σε συμποσίου βασιλικοῦ, μᾶλλον δὲ τυραννικοῦ, τοῦ ἐν τῇ βίβλῳ τῶν Εὐαγγελίων ἀναγεγραμμένου. Δεῖπνον ἦν βασιλικὸν, μᾶλλον δὲ, εἰ δεῖ τἀληθῆ λέγειν, τυραννικὸν, γενέθλια Ἡρώδου, τῆς μιαρᾶς ἀλώπεκος, τοῦ μιαιφόνου θηρίου, τοῦ δολεροῦ· οὗ τὸν τρόπον καὶ ὁ Κύριος ἐπιστάμενος, οὐκ εἶπεν, εἴπατε τῷ λέοντι τούτῳ (καίτοι τοῦτο τὸ θηρίον ἐδόκει βασιλικόν), ἀλλ', Εἴπατε τῇ ἀλώπεκι. Εἰ γὰρ καὶ ἡ ἐξουσία λέοντος, ἀλλ' ὁ τρόπος ἀλώπεκος. Συγκροτουμένου δὲ τοῦ συμποσίου, καὶ προελθόντων αὐτῶν εἰς τὸ πίνειν, πάρεισιν ὀρχηστρὶς εἰς τὸ συμπόσιον, αἰσχρὸν θέαμα καὶ ἀδόκιμον, ἐλεεινὸν μὲν, καὶ εἴπερ ἐν τῷ θεάτρῳ καὶ τῇ σκηνῇ ἐπεισῆλθε, μήτι γε βασιλικῷ συμποσίῳ. D Βούλει γνῶναι τὸ τοῦ συμποσίου θέαμα τὸ αἰσχρόν; Ἀπὸ τῶν βασιλέων ἡ ὀρχηστρὶς, θυγάτηρ τῆς Ἡρωδιάδος· βασιλέως τὸ γένος, καὶ ὀρχηστρίδος ὁ τρόπος. Αὕτη δέ ἐστιν Ἡρωδιὰς ἡ μηδὲ τοῖς τῆς φύσεως ὅροις ἐμμείνασα· ἡ Φιλίππῳ συναφθεῖσα, καὶ Ἡρώδῃ συνοικοῦσα. Αἴνιγμα τὸ λεγόμενον· καὶ εἰς αἰνιγμάτων

ras, quam erga congeneres exhibentes. Non misereris infelicem illum, qui ut ventrem impleat, in ferarum ventrem sponte abit : utque gulæ morbum expleat, libenter sibi in ventre bestiarum sepulcrum parat. Ille intemperantem habet ventrem, tu ne intemperantem oculum habeas. Alius mimus ingreditur, ad turpitudinem membra componens, risui sese mercede locans, quem pudet nisi publice vapulet, portarumque fragore genas præparat, novacula pilos detondet, ut ne pilus quidem contumeliis obsit. Alius muliebri saltatione emollitus, illaque imitans quæ virum non decent, dolensque quod non femina sit natus, simulatam naturæ mutationem ambit. Hæcque omnia ventris et quæstus causa facit, res fœdissimas persequens : de quibus hæc Pauli verba dicere par est : *Quorum deus venter est, et gloria in confusione ipsorum.* Phi[l.] [3.] 19. Ad hæc ne concurratis, ne veloces pedes ad hujusmodi gressus vertatis, neve in convivia vestra fœdas voluptates inducatis. Interdum dicis : Theatrum aversor, nequaquam ad gradus ascendo : convivium est lætitiæque tempus. At illic turpia theatrorum spectacula exhibetis. Quid tibi prodest, quod theatra averseris? num lapides detestamur? num lapides theatrorum damnantur? Sane gestorum turpitudo reprehenditur, fœdorum spectaculorum nequitia, quæ per organa oculorum et aurium, quasi per fenestras furem introducit. Cum ergo theatrum aversans, ad mensam tuam spectaculorum turpitudinem inducis, ignorasne te domum tuam in theatrum vertere? Non enim theatri locum aversor, sed eo convenientium mores.

3. Ut porro noveris ex spectaculis illis turpibus noxiisque in convivia inductis, damnationis causam esse ortam, in memoriam revocabo convivium regium, in Evangeliorum libro descriptum. Cœna erat regia, imo, ut vere dicam, tyrannica, natalia Herodis, sceleratæ vulpis, sanguinariæ dolosæque feræ : cujus mores cum nosset Dominus, non aiebat, Dicite leoni huic, tametsi hæc fera regia videatur; sed, *Dicite vulpi.* Luc[.] Etsi enim potentia leonis erat, at mores vulpis. Convivio autem instructo, et convivis ad potandum coactis, convivio adest saltatrix, miserabile et turpe spectaculum in theatro etiam et in scena, nedum in convivio regio. Vis scire quam turpe fuerit hujusce convivii spectaculum? Ex regibus orta saltatrix, filia Herodiadis : regium genus, saltatricis mores. Hæc est Herodias illa, quæ nec intra naturæ leges sese continuit, quæ Philippo juncta matrimonio erat, et cum Herode habitabat. Ænigma est id quod dico, et in ænigmatum quæstionem ducit lasciviæ finis. Herodes enim abjecta fratris memoria, et lasciviæ servus effectus, Judæorum rex erat;

* [τῶν πυέλων probabiliter conjecit Villoisonus apud Chardonem Rochettam, *Mélanges*, t. 2, p 244.]

δρων ἄρχοντι πόλεων· [a] ὁ ἀκρίδας ἐκ βοτανῶν ἐσθίων C καὶ μέλι ἄγριον, τῷ τὴν λαμπρὰν παρατιθεμένῳ καὶ βασιλικὴν τράπεζαν ἐξ αὐθεντίας προστάττει· Οὐκ ἔξεστι σοι. Καίτοι ἐδόκει βασιλεῖ πάντα ἐξεῖναι. Ἀλλὰ Πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει. Ἐπὶ τούτοις δέον εὐχαριστεῖν, δέον εὐεργετεῖν ἢ προσκυνεῖν τὸν ὑπὲρ σωφροσύνης διδάσκαλον· παρωξύνθη μὲν ὁ Ἡρώδης, πλέον δὲ παρωξύνθη Ἡρωδιάς (γείτονες γὰρ τῶν ὀνομάτων, καὶ τοῦ τρόπου πλέον ἤπερ ὁμόζυγοι· καὶ ἔσονται οἱ δύο, οὐκ εἰς σάρκα μίαν, ἀλλ' εἰς ἀκρασίαν μίαν)· καὶ ὑπὲρ τούτων ἐμβάλλουσι τὸν προφήτην εἰς δεσμωτήριον, ἵνα δείξωσι τὴν οἰκείαν ἀσυνεσίαν. Ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε· ἀσύνετον δὲ, καὶ προσθήσει τοῦ μισεῖν σε. Ἐμβάλλεται τῷ δεσμωτηρίῳ, καὶ οὐ μεταλλάσσει τὴν παρῥησίαν. Λῦσον, φησὶ, τὰ μέλη· μόνον λῦσον τὸ ἄδικον συνοικέσιον. Ἐγκαρτεροῦντος δὲ αὐτοῦ τῷ δεσμωτηρίῳ, γίνεται τὸ πικρὸν ἐκεῖνο συμπόσιον, τὸ τυραν- D νικὸν καὶ ὠμόν· οὗ τῆς εὐφροσύνης τέλος, προφήτου φόνος. Εἴσεισιν Ἡρωδιὰς τῆς Ἡρωδιάδος θυγάτηρ, τέκνον τῆς σαρκὸς, τέκνον τῆς ψυχῆς· εἴσεισιν εἰς οἰνωμένον συμπόσιον, ὀρχεῖται δημοσίᾳ ἡ βασίλισσα, ἣν οὐκ ἐχρῆν προκύπτειν κοιτωνίτιδος, ἣν οὐκ ἐχρῆν ἀῤῥένων ὄψεσι θαρσεῖν. Ἀλλὰ τάχα, ὥσπερ Ἰωάννης παρὰ τῆς μητρὸς πρὸ βραχέος ἐχρήσατο γλῶσσαν, καὶ ἡ κόρη παρὰ τῆς μητρὸς τοὺς ὀφθαλμοὺς τῆς ἀναισχυντίας ἐχρήσατο. Εἴσεισιν εἰς τὸ συμπόσιον. Οὐκ ἤρκει τοῦτο τῆς αἰσχύνης ἔχειν τὴν ὑπερβολήν· ἀλλὰ καὶ πῶς εἴσεισιν; ἆρα ὡς βασιλίς; ἆρα σεμνῶς; ἆρα εὐνούχοις, ἆρα θεραπαινίσιν, ἆρα τῷ ἄλλῳ κόσμῳ, καὶ τῇ σεμνότητι προσεκοσμήθη; Οὐδαμῶς· ἀλλ' εἴσεισιν ὀρχουμένη. Κακῆς εἰσόδου χείρων ἡ ὑπόθεσις. Καὶ ὠρχήσατο ἐν μέσῳ τοῦ συμποσίου, ἐν τοῖς τῶν ἀκολάστων ὀφθαλμοῖς, ὅτε καὶ ὁ οἶ- E νος τὸ πάθος πλέον ἠρέθιζεν. Καὶ βούλει γνῶναι τὸ χεῖρον; Οὐκ ὀρχεῖται μόνον, ἀλλὰ καὶ καλῶς ὀρχεῖται. Προσθήκη τῆς αἰσχύνης, καὶ τὸ καλῶς μελετῆσαι τὰ κακά. Ἔοικεν γὰρ οὐ παρέργως τὴν αἰσχύνην κατωρθωκέναι. Ἀρέσκει τῷ Ἡρώδῃ καὶ τοῖς συνανακειμένοις. Καὶ ἡ ἀλώπηξ οὐκ ἐγκαλύπτεται. Βλέπει τοῦ ἀδελφοῦ τὴν θυγατέρα καὶ τῆς κακῶς συνοικούσης ἐν μέσῳ ἀῤῥένων ὀρχουμένην, καὶ οὐ καλύπτεται! ἀλλὰ καὶ ἀρέσκεται, καὶ ἀρέσκει κἀκείνῳ καὶ τοῖς συνανακειμένοις. Μεθ' ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. Ἐβουλόμην αὐτὸν μικρόν τι Παύλῳ μαθητευθῆναι· Ὅλως ἀκούεται ἐν ὑμῖν ὄρχησις, καὶ 293 A τοιαύτη ὄρχησις, οἵα τις οὐδὲ ἐν τοῖς ἔθνεσιν, ὡς βασιλέως ὀρχήσασθαι θυγατέρα. Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐ μᾶλλον ἐπενθήσατε. Ἀλλὰ καὶ ἀρέσκει κακῶς, καὶ μισθὸν λαμβάνει τοῦ κατορθώματος χείρονα, ὥστε τὸν Ἡρώδην ὀμόσαι· Αἴτησον ὃ θέλεις, καὶ δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. Ὁρᾶτε τῶν φιληδόνων τὸ τέλος; ὁρᾶτε τῶν φιλοθεαμόνων τὴν αἰσχύνην; Προλαμβάνων ὀμνύεις· Ὃ ἐὰν αἰτήσῃς, δώσω σοι· καὶ ποιεῖς αἰτήσεως κύριον, ὀρχηστρίδιον, καὶ προενεχυράζεις

intemperantiam); et his de causis prophetam in carcerem conjiciunt, ut suam ostendant stultitiam. *Argue sapientiem, et diliget te; insipientem* Prov. 9. 8. etiam, et addet te odio habere. In carcerem conjicitur, nec mutat loquendi libertatem. Solve, inquit, membra; sed etiam iniquum conjugium. Dum autem in carcere degeret, agitur convivium illud amarum, tyrannicum, crudele; cujus lætitiæ finis, prophetæ cædes fuit. Intrat Herodias filia Herodiadis, filia carne, filia animo : intrat in ebriosum convivium : saltat publice regina, quam ne ex cubiculo quidem egredi par erat, nec virorum se oculis offerre. Sed fortassis ut Joannes paulo ante matris lingua usus erat, sic puella matris oculis impudicis usa est. Intrat in convivium. Non sufficiebat hoc ad summam impudentiam; sed quomodo intrat? num ut regina? num cum decenti gravitate? num eunuchis, num ancillis stipantibus? num alio ornatu honorifice decorata? Nequaquam; sed saltans intrat. Mali ingressus pejor causa. Et in medio convivio saltabat, in la- Matth. 6. scivorum hominum conspectu, quando vinum 22. concupiscentiam magis excitabat. Vis scire quid adhuc pejus fuerit? Non saltat modo, sed et bene saltat. Accessio turpitudinis est, mala bene exercitare. Videtur enim non perfunctorie rem turpem tractare. Placet Herodi et una recumbentibus. Vulpes illa non se occultat. Videt fratris et illius cum qua male cohabitabat filiam in medio virorum saltantem, nec erubescit, sed id sibi placet : nam placuit illi et simul discumbentibus. *Cum sancto sanctus eris, et cum perver-* Psal. 17. *so perverteris.* Vellem illum sub Pauli disciplina 26. 27. aliquamdiu fuisse: *Omnino auditur inter vos* sal- 1. Cor. 5. 1. tatio, et talis saltatio, *qualis ne quidem inter* 2. *gentes est;* quod saltet regis filia. *Et vos inflati estis, neque potius luxistis.* Verum et male placet, et mercedem accipit ipso opere pejorem, ita ut Herodes juraret : *Postula quod vis, et dabo* Marc. 6. *tibi usque ad dimidium regni mei.* Videtis volu- 22. 23. ptuosorum finem, videtis spectaculis deditorum turpitudinem? Juras prius, *Quodcumque petieris, dabo tibi,* et in saltatricis arbitrio relinquis petitionem, et juramento ceu pignore firmas illam? Viden' quomodo voluptatis amor regum dignitatem ad terram detrahat? viden' quo regnum dejiciat? *Quodcumque petieris, dabo tibi, etiam usque ad dimidium regni mei.* Tanti ergo facis regiam dignitatem? itane corrupti sunt oculi tui? Semel saltavit puella, et dimidium dedisti : si secundo saltaverit, qui rex erat, privatus erit. Ubinam voluptuosorum dignitas? ubi lascivorum purpura? Dimidium regni ad pedes saltatricis projecisti : precare ne secundo saltet, vel ne secundo saltando placeat; alioquin restat tibi ut mendicus sis. Verum hactenus immoderata est mercedis

[a] Sic Tomo 2 Operum Chrysostomi, p. 791, Oratione in oraculum Zachariæ, quæ perperam Chrysostomo attributa fuit, ἀκρίδας βοτανῶν legitur. Ἀκρίδας sic non semel explicat Isidorus Pelusiota, et alii non pauci.

propositio: quænam porro est saltatricis petitio? Non ex tempore donum postulavit, non statim mercedem petiit; sed prius a matre instructa abit, pessimam magistram de mercede consultura. Ec- Marc. 6. 25. quam postulavit mercedem? *Da mihi hic protinus in disco caput Joannis Baptistæ.* Annon B immanem impudentiam lacrymis prosequar? annon rei turpitudinem, regis promissionem, mercedis petitionem? annon jam exhorrescitis ob saltantium finem? annon exsecramini plausuum rationes? annon abominamini seminudorum inflexiones? Audesne saltatorem amicum habere? audesne te saltatoris amatorem dicere? Rem non oderis, quæ neglecta spectatoribus risum movet? Risum quidem movet; summe vero culta prophetam occidit. Odio habeamus saltationem, inventionem dæmo- Ibid. v. 26. num, malorum dæmonum exercitationem. De his contristatus est Herodes; summe contristatus, ut quis dixerit, et imitatur Pilatum, imo Pilati mo- Matth. 27. 24. res; hoc enim, de quo agitur, prius acciderat. Ille manus lavat, et supplicio Christum tradit. Hic quoque contristatur, ac propter tum jusjurandum, C tum simul discumbentes annuit. Nonne recte dixit Ibid. 5. 34. Dominus hodie, Ne jures omnino? Vides Dominum hortantem, Ne jures omnino. Cur enim juras, an ut pejerans teipsum illaquees, vel ut juramentum servando, prophetam occidas? Male juravit, Marc. 6. 26. pejus juramento stetit, tamen *Propter jusjurandum,* inquit, *et propter simul discumbentes.* Simul discumbentes revereris, et Judicem non Ibid. v. 27. 28. times? Et jussit, inquit, *Et statim allatum est caput Joannis Baptistæ in disco, et datum est puellæ.* Ecce amari convivii amariorem finem. Abscinditur prophetæ caput, datur puellæ, puella accipit, non horrescit ad hoc spectaculum, non stupefacta est viso capite, non adversata est guttas sanguinis, vere leænæ crudelis crudelior catulus. In disco ponitur caput prophetæ, in quo cibi ferri solent: illud ipsum vas ciborum et cædis est; D eademque hora, stillante adhuc cruore, et capite palpitante, fortasse in convivium allatum caput; motitante adhuc lingua clamabat, Non licet tibi Ibid. eam habere. Et acceptum attulit matri suæ. Accepit saltationis magistra malæ doctrinæ impiam mercedem.

E

4. Hanc historiam necessario discussimus, ut hominum spectaculis deditorum oculos absterge-

τὴν ψῆφον ὅρκου προσθήκῃ. Βλέπεις *πῶς βασιλέων ἀξίωμα φιληδονία κατασύρει πρὸς τί; βλέπεις ποῦ τὴν βασιλείαν ἀπέῤῥιψεν; Ὃ ἐὰν αἰτήσῃς, δώσω σοι, καὶ ἕως τοῦ ἡμίσους τῆς βασιλείας. Τοσούτου κρίνεις τὴν βασίλειον ἀξίαν; Οὕτω B προδιεφθάρης τοὺς ὀφθαλμούς; Ἅπαξ ὠρχήσατο τὸ κοράσιον, καὶ ἀπέδου τὸ ἥμισυ· ἐὰν δεύτερον ὀρχήσηται, ἰδιώτης ὁ βασιλεύς. Ποῦ τὸ τῶν φιληδόνων ἀξίωμα; ποῦ τῶν ἀκολάστων ἡ ἁλουργίς; Τὸ ἥμισυ τῆς βασιλείας τοῖς ποσὶ τῆς ὀρχηστρίδος ὑπέῤῥιψας· εὖξαι μὴ πάλιν αὐτὴν ὀρχήσασθαι, ἢ μὴ πάλιν αὐτὴν ὀρχησαμένην εὐδοκιμεῖν· εἰ δὲ μὴ, λείπεταί σοι τὸ προσαιτεῖν. Ἀλλὰ ταύτῃ μὲν ἀκόλαστος ἡ τοῦ μισθοῦ πρότασις· τί δὲ ἡ τῆς ὀρχηστρίδος αἴτησις; Οὐκ ἐσχεδίασε τὸ δῶρον, οὐκ ἐξ αὐτοσχεδίου τὸν μισθὸν ᾔτησεν· ἀλλὰ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς, ἀπέρχεται χρήσασθαι συμβούλῳ τοῦ μισθοῦ τῇ κακῇ διδασκάλῳ. Καὶ ποῖον ᾔτησε μισθόν; Δός μοι ὧδε ἐξαυτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. Ἆρα μὴ δακρύσω τῆς αἰσχύνης τὴν ὑπερβολὴν, τοῦ κατορθώματος τὸ αἰσχρὸν, τοῦ βασιλέως τὴν ἐπαγγε- C λίαν, τοῦ μισθοῦ τὴν αἴτησιν; οὐ φρίσσετε λοιπὸν τῶν ὀρχουμένων τὰ τέλη; οὐ βδελύσσετε τῶν κρότων τοὺς λογισμούς; οὐκ ἀποπτύετε τῶν ἡμιγύμνων τοὺς λυγισμούς; Τολμᾷς ὀρχηστὴν φίλον ἔχειν; τολμᾷς σεαυτὸν τάττειν ἐραστὴν ὀρχηστοῦ; Οὐ μισεῖς τὸ πρᾶγμα, ὅπερ ἀμελούμενον γέλωτα καὶ παρὰ τοῖς θεαταῖς ὀφλισκάνει; Ὀφλισκάνει μὲν γέλωτα, εἰς ἄκρον δὲ κατορθωθὲν, προφήτην φονεύει. Μισήσωμεν ὄρχησιν, εὕρημα δαιμόνων καὶ μελέτην κακοδαιμόνων. Ἐπὶ τούτοις δ' Ἡρώδης ἐλυπήθη· ἐλυπήθη δὲ ἄκρως, ὡς ἂν εἴποι τις, καὶ μιμεῖται τὸν Πιλᾶτον, μᾶλλον δὲ τὸν τρόπον τοῦ Πιλάτου· προγενέστερον γὰρ τὸ διήγημα. Νίπτεται τὰς χεῖρας ἐκεῖνος, καὶ τῇ ψήφῳ τῇ κολαστικῇ παραδίδωσι· λυπεῖται καὶ οὗτος, καὶ διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐπένευσεν. Οὐ καλῶς ἔλεγεν ὁ Κύριος σήμερον, Μὴ ὀμόσῃς ὅλως; Εἶδες Δεσπότου παραίνεσιν· Μὴ ὀμόσῃς ὅλως. Διὰ τί γὰρ ὀμνύεις, ἢ ἵνα D ἐπιορκῶν παγιδεύσῃς σαυτὸν, ἢ εὐορκῶν προφήτην φονεύσῃς; Κακῶς ὤμοσε, χεῖρον εὐώρκησεν· ὅμως Διὰ τοὺς ὅρκους, φησὶ, καὶ τοὺς συνανακειμένους. Τοὺς συνανακειμένους ᾐδέσθης, καὶ τὸν κριτὴν οὐκ ἐφοβήθης; Καὶ ἐκέλευσε, φησὶ, καὶ παραχρῆμα ἠνέχθη ἡ κεφαλὴ Ἰωάννου τοῦ βαπτιστοῦ ἐπὶ πίνακος, καὶ ἐδόθη κορασίῳ. Ἴδε τοῦ πικροῦ συμποσίου πικρότερον καὶ τὸ τέλος· τέμνεται ἡ κεφαλὴ τοῦ προφήτου, δίδοται τῷ κορασίῳ, καὶ τὸ κοράσιον δέχεται· οὐ φρίττει τὸ θέαμα, οὐ κατεπλάγη τὴν κεφαλὴν, οὐκ ἀπεστράφη τὰς τῶν αἱμάτων ῥανίδας· ὄντως ὠμῆς λεαίνης σκύμνος ὠμότερος. Ἐπὶ πίνακος τίθεται κεφαλὴ προφήτου, ἐφ' οὗ τὰ ἐδέσματα παραφέρεται· καὶ τὸ αὐτὸ σκεῦος ἐδεσμάτων καὶ φόνου, καὶ αὐτῆς ὥρας ἔτι τοῦ λύθρου στάζοντος, ἔτι παλλούσης τῆς κεφαλῆς, τάχα καὶ εἰς τὸ συμπόσιον παρενεχθεῖσα ἡ κεφαλή· ἔτι τῆς γλώτ- E της σαλευομένης ἐβόα, οὐκ ἔξεστί σοι ἔχειν αὐτήν. Καὶ λαβοῦσα ἀπήνεγκε τῇ μητρὶ αὐτῆς. Ἀπείληφεν ἡ ** ὀρχηστροδιδάσκαλος τῆς κακῆς διδασκαλίας τὸ ἀσεβὲς ** κατόρθωμα.

Τοῦτο μὲν οὖν ἀναγκαίως ἠρευνήσαμεν τὸ διήγημα, ἵνα τοὺς ὀφθαλμοὺς τῶν φιλοθεαμόνων ἐκ[illegible]

μεν, καὶ πείσωμεν ὑμᾶς ἀποστρέφεσθαι τὰ τοιαῦτα θεάματα. Ἀλλὰ μὴ καταλύσωμεν τὸν λόγον ἐν σκυθρωπῷ διηγήματι, μηδὲ λόγον ἐκκλησιαστικὸν ὀρχηστρὶς καταστελλέτω, ἀλλ' ἀντιθῶμεν ἀκολάστῳ συμποσίῳ καὶ τυραννικῷ καὶ πικρῷ συμπόσιον δεσποτικὸν καὶ φιλάνθρωπον, ἵνα νοήσωμεν πηλίκος ὁ τῆς μετανοίας καρπός. Ἠρώτησε τὸν Κύριον τῶν Φαρισαίων τὶς εἰσελθεῖν καὶ φαγεῖν ἄρτον. Εἰσῆλθεν ὁ Δεσπότης, καὶ ἀνέκειτο. Εἰ γὰρ καὶ ᾔδει τῶν καλούντων τὰς 294 γνώμας, ἀλλὰ καὶ μακροθυμῶν ἔφερεν. A Ὅτι γὰρ ὁ καλέσας ὑποκριτὴς ἦν, τὰ ἑξῆς δείκνυσιν. Ἀνακειμένου τοῦ Κυρίου καὶ ἔτι ὄντος τοῦ συμποσίου, γυνή τις ἦν, φησὶν, ἐν τῇ πόλει ἁμαρτωλός. Ἀκούσασα ὅτι Ἰησοῦς ἐκεῖ κατάκειται, ἔρχεται, φησὶν, εἰς τὸν οἶκον· καὶ κομίσασα ἀλάβαστρον μύρου, κατέχεεν ἐπὶ τῶν ποδῶν τοῦ Δεσπότου, καὶ κατεφίλει τὰ ἴχνη, καὶ ἐξέμασσε ταῖς θριξὶν αὐτῆς. Ἵνα δὲ γνῷς, ὅτι ὑποκριτὴς ὁ καλέσας, διαλογίζεται ἐν ἑαυτῷ ὁ Φαρισαῖος· οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἡ ἁπτομένη αὐτοῦ· ὅτι ἁμαρτωλός ἐστιν. Οὐ γὰρ ὑποκριταὶ μόνον οἱ Φαρισαῖοι, ἀλλὰ καὶ φθονεροί. Παρὰ σοὶ Χριστὸς ἀνάκειται, καὶ ταῦτα εἰδώς σου τὸν τρόπον, καὶ οὐδεὶς βασκαίνει· ἦλθεν ἁμαρτωλὸς γυνὴ σωθῆναι, καὶ φθονεῖς, ὦ Φαρισαῖε; Τάχα ἂν **αὐτοῦ συγγενὴς ἦν, μᾶλλον δὲ τῶν δογμάτων προπάτωρ. Ἵν' οὖν γνῷς, ὅτι οὐκ ἔστι προφήτης, ἀλλ' ὁ B προφήτης (ἔχει γάρ τι ἡ τοῦ ἄρθρου προσθήκη), τί μέγα ἦν, εἰ ἔγνω ὅτι ἁμαρτωλὸς ἡ γυνή; Τοῦτο καὶ διὰ φήμης ῥᾴδιον ἦν μαθεῖν· τοῦτο καὶ σὺ ὁ Φαρισαῖος, μὴ ὢν προφήτης, ἐγίνωσκες. Δείκνυσιν οὖν τὸ μεῖζον τοῦ εἰδέναι. Τὸν μὲν γὰρ ἐκείνης βίον καὶ φήμη τυχὸν διήγγελλε, καὶ μάλιστα λίαν οὔσης ἁμαρτωλοῦ· ὁ δὲ Κύριος, ἵνα δείξῃ τὴν θεϊκὴν δύναμιν, τὸν διαλογισμὸν ἀνέγνω τοῦ Φαρισαίου. Οὐδὲ γὰρ ἔχει τὸ διήγημα, ὅτι ὁ Φαρισαῖος πρός τινα τῶν ἀνακειμένων εἶπεν, ἀλλ' ἐν ἑαυτῷ ἔλεγε, καὶ διελογίζετο ἐν ἑαυτῷ. Ἵν' οὖν γνῷς, ὅτι οὐ μόνον προφήτης, ἀλλὰ καὶ ὁ προφήτης· σὺ κινεῖς ἔνδον τὸν λογισμὸν, καὶ ὁ Δεσπότης ἀναγινώσκει· σὺ στρέφεις τὰς ἐννοίας, καὶ ὁ Κύριος εὑρίσκει, καὶ θεραπεύει· καὶ οὕτω τὰ τῶν χρεωφειλε- C τῶν τῶν δύο διηγήματα παρήγαγε, τῷ μὲν ὅτι ἀφῆκε πεντακόσια, τῷ δὲ πεντήκοντα, Τίς πλέον* ἀγαπήσει; λέγων. Ἀποκρινομένου τοῦ Φαρισαίου, Ὧ τὸ πλεῖον ἐχαρίσατο, συγκρίνει λοιπὸν τὸν Φαρισαῖον, κἀκείνην τὴν γυναῖκα τὴν λαβοῦσαν πολλῶν ἁμαρτημάτων συγχώρησιν· ἣν οὐκ ἐπαινῶ τοῦ προτέρου βίου, μακαρίζω δὲ τοῦ δευτέρου τέλους. Μηδεὶς αὐτὴν μετὰ Φαρισαίων ὀνειδιζέτω· πόρνη ἦν καὶ ἀκόλαστος. Παῦλος ἑρμηνευσάτω, Παῦλος τῇ γυναικὶ συνηγορείτω· Θεὸς ὁ δικαιῶν. Τίς ὁ κατακρίνων; Καὶ φέρε, τὸ διήγημα λεπτότερον ἐξετάσωμεν, ἵνα μὴ μακαρίζωμεν μόνον ἐκείνην, ἀλλὰ καὶ μιμησώμεθα. Ἔρχεται πρὸς τὸν Ἰησοῦν ἐμπαράσκευος, κομίζουσα μύρον ἐν ἀλαβάστρῳ, καὶ δάκρυον ἐν ὀφθαλμοῖς· τὸ ἄψυχον σκεῦος τοῦ μύρου, ἡ ἔμψυχος πηγὴ τῆς μετανοίας· ἐκ τοῦ σώματος τῆς σαρκὸς κομίζει μύρον, ἵνα σβέσῃ τὴν τῆς ἀσελγείας δυσωδίαν· δυσώδης D γὰρ ἡ ἁμαρτία, καθὰ καὶ Δαυὶδ μαρτύρεται· Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. Πᾶς ἁμαρτάνων δυσωδίαν ἐργά-

remus, et vobis suaderemus talia aversari spectacula. Verum nec in tam tristi narratione orandi finem faciemus, nec ecclesiasticum sermonem saltatrix cohibeat; sed convivio lascivo, tyrannico, amaro opponamus convivium dominicum et humanum, ut intelligamus quantus sit pœnitentiæ fructus. *Rogavit Dominum quidam de Pharisæis ut* ingrederetur, et *manducaret panem*. Intravit Dominus, et discumbebat. Etsi enim noverat invitantium animum, patienter tamen ferebat. Quod enim is qui invitavit hypocrita esset, sequentia demonstrant. Sedente Domino in convivio, *Mulier quædam erat*, inquit, *in civitate peccatrix;* quæ cum audisset quod Jesus illic recumberet, venit domum, et afferens alabastrum unguenti, effudit super pedes Domini, et osculabatur vestigia, et abstergebat capillis suis. Ut porro scias hypocritam fuisse illum qui invitaverat: cogitabat apud se Pharisæus: *Hic si esset propheta, sciret utique, quæ, et qualis sit mulier, quæ tangit eum, quia peccatrix est.* Pharisæi enim non modo hypocritæ erant, sed etiam invidi. Apud te Christus recumbit, etiamsi mores tuos nosset, et nemo invidet: venit peccatrix mulier salutem quærens, et tu invides, o Pharisæe? Fortassis ejus cognatus erat, vel potius dogmatum ejus parens. Ut cognoscas igitur ipsum non esse simpliciter prophetam, sed illum prophetam (nam articuli accessio aliquid significat); quid magnum esset, si nosset mulierem esse peccatricem? Id ex fama disci poterat; id et tu Pharisæus nosti, etsi non propheta. Ostendit aliquid majus illa cognitione. Nam illius fama forte nuntiavit, cum maxime admodum peccatrix esset: Dominus vero ut divinam ostenderet potestatem, Pharisæi ratiocinium novit. Neque enim narratur Pharisæum id alicui recumbentium dixisse; sed hæc intra semetipsum dicebat et ratiocinabatur. Ut ergo cognoscas, illum non modo prophetam, sed illum esse Prophetam: tu intus ratiocinaris, et Dominus id legit; tu cogitationes animo versas, et Dominus invenit, atque medetur: atque ita de duobus debitoribus narrationem instituit, quorum uni quingenta, alteri quinquaginta remisit creditor, dicens, *Quis plus diligit?* Respondente Pharisæo, *Is cui plus donavit*, comparat demum illum Pharisæum cum illa muliere, quæ multorum acceperat peccatorum remissionem: quam non de præterita vita laudo, sed de fine beatam prædico. Nemo illi cum Pharisæis convicietur, Meretrix et impudica fuit. Paulus interpretetur, Paulus mulieri patrocinetur: *Deus qui justificat. Quis est qui condemnet?* Sed age, historiam hanc subtilius examinemus, ut non modo beatam prædicemus, sed etiam imitemur illam. Venit ad Jesum cum apparatu, unguentum afferens in alabastro, et in oculis lacrymas: inanimatum vas unguenti, animatus fons pœnitentiæ: de corpore carnis unguentum affert, ut exstinguat libidinis fœtorem: fœtidum quippe est peccatum, ut testificatur David: *Putruerunt*

Luc. ... 43. Ibi... Rom. ... 34. Psa...

et corruptæ sunt cicatrices meæ, a facie insipientiæ meæ. Omnis qui peccat, fœtet; omnis qui pœnitentiam agit, unguentum præparat. Verum ut in unguentis multa aromata, sic et varia sunt pœnitentiæ genera. Oportet enim multa bona opera multos congerere fructus, qui pœnitentiæ unguentum parent. Vultis nosse mulieris humilitatem?
Matth. 26. 7. Altera illa mulier unguentum afferens, super Christi caput effundit: nam ex recte factis fiduciam habuit: hæc ex conscientia delictorum non caput audet, sed extrema pedum tantum tangere. Neque minus operantur pedes.
Matth. 9. 20. Nam si non vestimentum modo, sed etiam fimbria vestimenti perfectam sanitatem credenti largitur, et laudabile reddit credentis furtum; quanto magis vestigia Christi possunt peccatorum vibices delere? Non ergo unguentum tantum effudit, sed etiam fontes lacrymarum movit. Beati lacus mulieris, unde manant fluvii peccata abluentes. Te illa doceat cur nobis Deus oculos dederit. Num tantum ut visui servirent? Hoc et singula bruta animalia habent; imo si accurate quæras, bruta quædam acutius quam nos vident. Nam tibi oculi non ad visum modo, sed etiam ad pœnitentiam usui sunt. Beatus es si lavacrum baptismatis servaveris: si vero ut homo interceptus fuisti, emitte fontes lacrymarum. Habes puteum; ex profundo cordis tristitiam hauri, agita geminas pupillas, effunde lacrymarum fluenta; secundum rationem delictorum sint lacrymæ. Exiguæ stillæ leves festucas auferunt; profunda flumina et torrentes rapidi truncorum onera, et petrarum moles trahere solent. Appende peccata tua. Si leve peccatum est, sufficit paululum lacrymarum; si grande peccatum est, major sit torrens lacrymarum. Si autem cum vitæ fiducia lacrymas in promtu et cor contritum habes, ac non omnes pro te lacrymas fundis, mihi partem lacrymarum commoda; pro fratrum peccatis luge.
1. Cor. 5. 2. *Et vos inflati estis, et non potius luxistis.* Non peccavit Samuel, sed pro Saüle peccatore luxit. Paulus est vas electionis, sed pro nobis dolet.
2. Cor. 11. 29. *Quis scandalizatur,* inquit, *et ego non uror?* Viden' quomodo scandala mea Pauli cor conterant? Utinam autem singuli nostrum peccata sua lacrymis abstergere possent. Imitemur mulierem; lacrymis rigat pedes Jesu, unguento ungit. Lacrymis pedes. Unde peccata, inde remedia. Audisti Dominum hodie dicentem:
Matth. 5. 28. *Quicumque viderit mulierem ad concupiscendum eam, jam mœchatus est eam in corde suo.* Quia ex visu peccatum incepit. Ubi
Luc. 7. 38. radix libidinis, ibi fons curationis. *Et capillis tersit.* Num quæ unguentum emerat, et alabastrum paraverat, linteum non habuit paratum? annon poterat rigare lacrymis et linteo tergere? At non audet hoc facere: nam linteo abstergere
Joan. 13. 5. Christo reservabatur. Forte illa timens, cautius agit: non vult enim peccatis corporis remedia adhibere inanimata. Quid enim illi proderat linteum inanimatum tactu corporis Christi sanctifi-

ζεται· πᾶς μετανοῶν μύρον σκευάζει. Ἀλλ' ὥσπερ ἐν τοῖς μύροις πολλὰ ἀρώματα, οὕτω καὶ μετανοίας πολλὰ εἴδη. Δεῖ γὰρ πολλὰς πολιτείας καὶ πολλοὺς συναγαγεῖν καρποὺς, ἵνα σκευάσωσι τῆς μετανοίας τὸ μύρον. Καὶ βούλεσθε γνῶναι τῆς γυναικὸς τὴν ταπεινοφροσύνην; Ἄλλη ποτὲ γυνὴ κομίσασα μύρον παρὰ τὸν Χριστὸν, καταχέει τῆς κεφαλῆς· εἶχε γὰρ παῤῥησίαν ἐκ πολιτευμάτων. Αὕτη διὰ τὴν συνείδησιν τῶν πταισμάτων οὐ κατατολμᾷ τῆς κεφαλῆς, ἀλλὰ τῶν ποδῶν ἄκρων ἐφήψατο. Καὶ οὐκ ἔλαττον ἐνεργοῦσιν οἱ πόδες. Εἰ γὰρ οὐ τὸ ἱμάτιον μόνον, ἀλλὰ καὶ τοῦ ἱμα-
E τίου τὸ κράσπεδον τελείαν ὑγίειαν τῇ πιστευσάσῃ χαρίζεται, καὶ ποιεῖ τῇ πιστευσάσῃ ἐπαινετὴν τὴν κλοπήν· πόσῳ μᾶλλον τὰ ἴχνη τοῦ Χριστοῦ δύνανται τῶν ἁμαρτημάτων ἀπαλεῖψαι τοὺς μώλωπας; Οὐ τοίνυν τὸ μύρον μόνον κατέχεεν, ἀλλὰ καὶ τὰς πηγὰς τῶν δακρύων ἐκίνησε. Μακάριαι τῆς γυναικὸς αἱ λίμναι, ὅθεν ποταμοὶ θεραπευτικοὶ τῶν ἁμαρτημάτων προχέονται. Σοὶ γενέσθω διδάσκαλος διατί τοὺς ὀφθαλμοὺς ἡμῖν ὁ Θεὸς κεχάρισται. Ἆρα μόνον ὄψεως ὑπηρέτας; Τοῦτο καὶ ἐπὶ τῶν ἀλόγων ζώων ἕκαστον ἔχει· κἂν ἀκριβῶς ἐξετάσῃς, ἔνια τῶν ἀλόγων καὶ πλέον ὀξυδερκεῖ παρ' ἡμᾶς. Σοὶ γὰρ οὐ μόνον εἰσὶν
295 ὄψεως ὑπηρέται, ἀλλὰ καὶ μετανοίας ἐργάται. Μακά-
A ριόν σε φυλάξαι τὸ λουτρὸν τοῦ βαπτίσματος· εἰ δὲ ὡς ἄνθρωπος προελήφθης, κίνησον δακρύων πηγάς. Ἔχεις τὸ φρέαρ· ἐκ τοῦ βάθους τῆς καρδίας τὴν λύπην ἄντλησον· κίνησον τὰς διδύμους κόρας, πρόχεε δακρύων ῥεύματα· κατ' ἀναλογίαν τῶν πεπλημμελημένων ἔστω τὰ δάκρυα. Μικραὶ ψεκάδες κοῦφα παραφέρουσι κάρφη· μεγάλα ποταμῶν βάθη καὶ ῥεύματα, χείμαῤῥοι σφοδροὶ καὶ βαθεῖς κορμῶν βάρη καὶ λίθων ἄχθη παρασύρειν πεφύκασι. Στάθμισόν σου τὰ ἁμαρτήματα. Εἰ μικρόν σου τὸ ἁμάρτημα, ἀρκεῖ καὶ βραχὺ δάκρυον· εἰ μέγα τὸ ἁμάρτημα, μείζων ὁ τῶν δακρύων γένοιτο χείμαῤῥος. Εἰ δὲ καὶ παῤῥησίαν ἔχεις βίου, καὶ ἐπιτηδειότητα δακρύων, καὶ καρδίαν κατανενυγμένην, εἰ καὶ μὴ πάντα ὑπὲρ σαυτοῦ δακρύεις, κἀμοὶ δάνεισον δακρύων μέρος· δά-
B κρυσον ὑπὲρ ἀδελφικῶν ἁμαρτημάτων. Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε. Οὐχ ἥμαρτε Σαμουὴλ, ἀλλ' ἐπὶ Σαοὺλ ἡμαρτηκότα πενθεῖ. Παῦλός ἐστι σκεῦος ἐκλογῆς· ἀλλ' ὑπὲρ ἡμῶν ὀδυνᾶται. Τίς σκανδαλίζεται, φησὶ, καὶ οὐκ ἐγὼ πυροῦμαι; Ὁρᾷς ὅτι τὰ ἐμὰ σκάνδαλα τὴν Παύλου συντρίβει καρδίαν; Πλὴν ἀλλ' ἕκαστον ἡμῶν γένοιτο τοῖς οἰκείοις ἁμαρτήμασι μετὰ τῶν δακρύων ἀφανίσαι. Μιμησώμεθα τὴν γυναῖκα· δάκρυσι βρέχει τοὺς πόδας τοῦ Ἰησοῦ, ἀλείφει τῷ μύρῳ. Δάκρυσι τοὺς πόδας. Ὅθεν τὰ ἁμαρτήματα, ἐκεῖθεν καὶ τὰ ἰάματα. Ἤκουσας τοῦ Κυρίου λέγοντος σήμερον· Ὃς ἂν ἴδῃ γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ ἑαυτοῦ. Ἐπειδὴ διὰ τοῦ βλέμματος ἡ ἁμαρτία κατήρξατο. Ὅπου ἡ ῥίζα τῆς ἀκολασίας, ἐκεῖ ἡ πηγὴ τῆς θεραπείας. Καὶ ἐξέμασσε ταῖς θριξίν. Ἆρα ἡ τὸ μύρον ἀγοράσασα, ἡ τὸ ἀλάβαστρον ἑτοι-
C μάσασα, λέντιον οὐκ εἶχε παρεσκευασμένον; οὐκ ἠδύνατο βρέξαι μὲν τοῖς δάκρυσιν, ἐκμάξαι δὲ λεντίῳ; Ἀλλ' οὐ τολμᾷ τοῦτο ποιῆσαι· τὸ γὰρ ἐκμάσσειν λεντίῳ Χριστῷ τετήρηται. Τάχα δὲ αὐτὴ καὶ φοβου-

μένη πλέον ἠσφαλίσατο· οὐ βούλεται γὰρ τὰς μὲν ἁμαρτίας τοῦ σώματος εἶναι, τὰς δὲ θεραπείας ἀψύχων. Τί γὰρ ὠφελεῖτο ἐκείνη εἰ λέντιον ψαῦσαν τοῦ σώματος τοῦ Χριστοῦ τὸ ἄψυχον ἡγιάζετο; Καινοτομεῖ τὴν φύσιν, ἀντὶ λεντίου ταῖς θριξὶν ἐκμάσσει. Ὅθεν τὰ ἁμαρτήματα, ἐκεῖθεν καὶ τὰ ἰάματα. Πᾶσιν ἥμαρτεν τοῖς μέλεσι, πᾶσι θεραπεύει τοῖς μέλεσιν. Εἶδε κακῶς τὸν νέον· δακρύων προχέει πηγάς· ἥμαρτεν φιλήμασι πορνικοῖς καὶ χειρῶν ἀφῇ τὴν ψυχὴν καταῤῥυπάνασα· καταφιλεῖ τοὺς πόδας τοῦ Χριστοῦ, ἵνα ἀποσμήξῃ τὰ χείλη, καὶ τὸν ῥύπον καθάρῃ· ἐκμάσσει καὶ ταῖς θριξὶ, τάχα που καὶ διὰ τούτων γυναῖκας ἀπειροκάλους παιδεύουσα. Ἐπειδὴ γὰρ καὶ τὰ πλέγματα τῶν τριχῶν πολλάκις βρόχους τοῖς νέοις πλέκουσιν (διὸ καὶ Παῦλος καλῶς νουθετεῖ κοσμεῖν ἑαυτὰς μὴ ἐν πλέγμασιν)· ἐπειδὴ τοίνυν σύνοιδε τῇ ψυχῇ, ὅτι πολλοὺς νέους διὰ τῶν πλεγμάτων, ὥσπερ δορκάδας διὰ βρόχων ἐθήρευσε, βούλεται καὶ διὰ τῶν τριχῶν ὑπὲρ τῆς μετανοίας ἀπολογήσασθαι· καὶ ἐπειδὴ πολλάκις ἔπλεξεν ἀσεβῶς, ἅπαξ ἔλυσεν εὐσεβῶς. Τί οὖν τῶν ἐπινοιῶν τούτων λαμβάνει τὸ γέρας; Ἄκουσον τῆς δεσποτικῆς φωνῆς· αὕτη δὲ ἠγάπησε πολὺ, οὗ ἕνεκεν ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι αἱ πολλαὶ ἐκεῖναι.

care? Naturam innovat, loco lintei capillis abstergit. Unde peccata, inde remedia. Omnibus membris peccaverat, omnibus membris sanat. Juvenem lascive respexerat; lacrymarum fontes emittit : peccaverat osculis meretricis et manuum tactu animam contaminando; pedes Christi osculatur, ut labia abstergeret, et sordes purgaret. Tergit capillis, imperitas fortasse mulieres docens. Quia enim cincinnis capillorum laqueos sæpe juvenibus parant (ideo Paulus apposite admonet, 1. Tim. 2.
ne sese ornent cincinnis) : quia igitur sibi conscia 9.
erat se cincinnis suis multos illaqueasse juvenes
D quasi capreas, capillis jam vult per pœnitentiam satisfacere : et quia sæpe impie nexuerat, semel pie solvit. Quam ergo inventorum mercedem accipit? Audi vocem Dominicam : Ipsa dilexit mul- Luc. 7. 47.
tum, ideo remittuntur ei peccata multa.

Δεσπότης ἔῤῥηξε τὸ χειρόγραφον καὶ Ναυάτος συνάγει τὰ διαῤῥαγέντα. Εἶδες ποτὲ φιλοπράγμονα, γραμματεῖον διαῤῥαγὲν συνάγοντα, καὶ πάλιν φιλοπόνως κολλήσαντα, ἵνα τὴν ἀγωγὴν τῆς συκοφαντίας ἀνανεώσῃ; Ὁ Δεσπότης ἔῤῥηξε τὸ χειρόγραφον, τὸ χρέος ἀφῆκεν, ὁ λογοθέτης συκοφαντεῖ. Ἀλλὰ βραχὺ ἡμῖν ὁ περὶ Ναυάτου λόγος. Μίμησαι τὴν γυναῖκα, καὶ λήψῃ τὸ γέρας τῆς θεραπείας. Μὴ δέδοικα Ναυάτου κρίνοντος· μὴ γὰρ αὐτὸς ὁ μέλλων κρῖναι ζῶντας καὶ νεκρούς· μὴ γὰρ μετὰ τῶν ἀποστόλων τῶν δώδεκα τρὶς καὶ δέκατος θρόνος Ναυάτου εἰς τὴν κρίσιν τεθήσεται. Τίς μοι δώσει τῆς μετανοίας τὴν ἀκρίβειαν, κἀγὼ Ἰησοῦ Δεσπότου τὴν φιλανθρωπίαν ἐγγυῶμαι; Οὐκ ἀρκεῖ σοι ὄνομα μετανοίας, ἀλλ' ἔργα μετανοίας. Ἐὰν εἴπῃ, μετανοῶ, καὶ πάλιν ὡς κύων ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέψῃς, ἢ πάλιν ὡς ὗς ἐπὶ τὸν κυλισμὸν τοῦ βορβόρου, οὐ τὸ ῥῆμα ὠφέλησεν, ἀλλ' ὁ βόρβορος συνέπνιξεν. Ἐὰν δὲ βουληθῇς ἀκριβῶς μετανοῆσαι, θάῤῥει ὑπὲρ ἡμαρτημένων, μόνον ἀσφάλισαι τὸ λειπόμενον. Βέλτιον μηδὲ σχεῖν ἀρχὴν τραύματος· εἰ δὲ δέοι, μᾶλλον θεράπευσον, μᾶλλον περιδῆσον, μὴ ὑπερίδῃς σκώληξι βρύον. Ἐὰν δὲ ἐπουλώσῃ, μὴ πάλιν τέμῃς. Ταχὺ τὸ στόμιον τῆς οὐλῆς γίνεται, τὸ δὲ δι' οὐλῆς σκληρυνθὲν, δυσκόλως πάλιν συνάγεται. Ἐπεὶ ὅτι φιλάνθρωπος ὁ κριτὴς, οὐ μόνον ἀπὸ τῶν ῥημάτων, ἀλλὰ καὶ δι' αὐτῶν τῶν πραγμάτων ἀποδεῖξαί μοι ῥᾴδιον. Ἠκούσατε πάντως τῆς τοῦ Δεσπότου φιλανθρωπίας, ὅτι πρὸς τὸν μακάριον Πέτρον μετὰ τῶν ἄλλων ἐπαίνων καὶ τοῦτο ἔθηκεν· Σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. Ἂν τινων ἀφῇς τὰς ἁμαρτίας, ἀφέωνται· ἄν τινων κρατῇς, κεκράτηνται. Οὐ δείκνυσι τοῦτο τὴν τοῦ Δεσπότου φιλανθρωπίαν; Δώσω σοι τὰς κλεῖς. Διὰ τί δ' οὐκ ἔδωκεν Ἰωάννῃ, ὃς ἐπὶ στῆθος ἀνέπεσε τοῦ Δεσπότου, τῆς ἀγάπης ἀκριβῶς ἔχων τὸ σύμβολον; διὰ τί οὐκ ἔδωκεν Ἰακώβῳ, τῷ πρώτῳ ἀποτμηθέντι; Ἀνεῖλεν γὰρ Ἡρώδης τὸν

5. Dominus chirographum discerpsit, et Novatus disceptas particulas colligit. Vidisti aliquando litigiosum hominem, syngrapham discerptam
E colligentem, ac studiose conglutinantem, ut sycophantiæ actionem renovet? Dominus chirographum discerpsit, debitum remisit, et rationarius sycophantiam instruit. Brevis sermo nobis de Novato instituitur. Imitare mulierem, et curationis mercedem recipies. Non timeo judicium Novati, neque enim ipse venturus est judicare vivos et mortuos : non enim cum duodecim apostolis decimus tertius thronus Novato ad judicandum ponetur. Quis ostendet mihi accuratam pœnitentiam, et ego sponsor Domini Jesu promitto clementiam? Non sufficit tibi pœnitentiæ nomen, sed adsint
296 pœnitentiæ opera. Si dixeris, Me pœnitet, et rur- Prov. 26.
A sum ut canis ad proprium vomitum revertaris, 11.
vel ut sus ad volutabrum luti; nihil verba suffi- 2. Petr. 2.
ciunt, sed lutum suffocat. Quod si velis accurate 22.
pœnitentiam agere, fide pro commissis, tantum stude quod reliquum est in tuto ponere. Melius esset ne initium quidem vulneris habere; si tamen opus sit, magis fove, magis alliga, ne contemnas si vermibus scateas. Quod si cicatrix obducta sit, ne iterum seces. Cito fit orificium cicatricis; quod autem per ulcus fuerit exasperatum, ægre iterum consolidatur. Quod vero misericors sit Judex, non ex verbis solum, sed etiam ex rebus ipsis facile demonstrabo. Audistis omnino Domini benignitatem, qui cum aliis laudibus hanc quoque beato
B Petro dedit : *Tibi dabo claves regni cælorum.* Matth. 16.
Quorum remiseris peccata, remissa sunt, quorum 19.
retinueris, retenta sunt. Annon hoc Domini mise- Joan. 20.
ricordiam demonstrat? *Dabo tibi claves.* Cur 23.
non dedit Joanni, qui supra pectus Domini recum- Joan. 13.
bens, amoris certum habuit indicium? cur non 25.





DATE DUE

